φροντίς: ἣ πολλάκις ἐννυχίαισιν | φροντίσι συγγεγένημαι, | καὶ διεζήτηχ'- Eup. (?) 2, 577 (v. 4). καὶ *πρᾶγμά γ' ἠρώτα με δυστράπελον πάνυ | *ἔχον τε πολλὰς φροντίδων *διεξόδους Henioch. 3, 562 (v. 5). λόγοι | λεπτοὶ διεσμιλευμέναι τε φροντίδες | τρέφουσ' ἐκείνους Alexid. 3, 483 (2, 8). ποία φροντίς, ποῖος δὲ λόγος | διερευνᾶται παρὰ τοῖσιν; Epicrat. 3, 370 (1, 4). εἰν ἀγορῇ μέν | νείκεα-, ἐν δὲ δόμοις | φροντίδες Plat. (?) 2, 697 (v. 3). πολλῶν-μεστόν ἐστι τὸ ζῆν φροντίδων Men. 4, 203 (6). λύπη, φόβος, φροντίς, πέρας ἐστὶν οὐδὲ ἕν ib. 196 (2). παρέχει δὲ φροντίδας καὶ τἀγαθά ib. 234 (11, 8). ὡς δεινὸν ἡνίκ' ἄν τις ὢν ἐν φροντίσιν | εἰκῇ θεατὴν τὸν τυχόντα λαμβάνῃ Diph. 4, 425 (28). παραψυχὰς-φροντίδων ἀνεύρατο (ἀνεύρετο?) | ταύτας Timocl. 3, 592 (v. 4). οὐ φροντὶς Ἱπποκλείδῃ Herm. 2, 387 (6).

φροντιστικός: ὑποπίνων δὲ πάνυ φροντιστικός (int. γίγνεται) Antiph. 3, 146 (33).

φρονῶ: cf. φρήν. ἡνίκ' *ἦ νεώτερος, | ἐδόκουν μὲν ἐφρόνουν δ' οὐδέν Pher. 2, 338 (7, 4). οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν Men. 4, 258 (92). εἰ τἄλλ' ἀφαιρεῖν ὁ πολὺς εἴωθεν χρόνος | ἡμῶν, τό γε φρονεῖν ἀσφαλέστερον ποιεῖ ib. 264 (130). ἰχθῦς φρονοῦντας, ὦ πάτερ. μή μοι βρέφη Ephipp. 3, 339 (2, 3). τὴν γυναῖκα δέ | αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω Aristophan. 2, 1175 (1). σωφρονοῦντα καὶ φρονοῦντ' (an κεὐτυχοῦντ'?) ἰδεῖν τινα | τῶν ἐξ ἑαυτοῦ Men. 4, 261 (109). ἡ δ' ἄνοια (Amoris) μανίας, ὁ δὲ λόγος | φρονοῦντος Alexid. 3, 496 (1, 12). ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται Men. 4, 292 (276). ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν (al. σωφρονεῖν), | ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις Crobyl. 4, 566 (2). ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν mon. 420. τὸν δ' οἶνον ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖν dixit Eubul. 3, 267 (11) = Ophel. 3, 380 (1). ἐπισκοτεῖ-τῷ φρονεῖν τὸ λαμβάνειν Antiph. 3, 148 (41). πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν | καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ Men. 4, 263 (119). πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ mon. 447. τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν mon. 497. τὸν πλησίον-οἴεται μᾶλλον φρονεῖν | ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί Men. 4, 183 (4). εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν | ἦν τοῦ φρονεῖν παράσημον Nicostr. 3, 288 (1). ὁ μὴ φρονῶν μέν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν Men. 4, 324 (466). τούς-φιλοσόφους | ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον Anaxipp. 4, 465 (2, 2). μὴ τοῦτο βλέψῃς εἰ νεώτερος λέγω, | ἀλλ' εἰ φρονούντων τοὺς λόγους ἀνδρῶν ἐρῶ Men. 4, 258 (91). πᾶς ὁ μὴ φρονῶν | ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται ib. 277 (195). οὐ τοῖς-ὀμνύουσι τὸν φρονοῦντα δεῖ, | τοῖς πράγμασιν δ' αὐτοῖσι πιστεύειν ἀεί Alexid. 3, 458 (3). ὀργῆς-ἀλογίστου κρατεῖν | ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ Men. 4, 241 (25). θυμὸν φυλάττου· τὸ φρονεῖν γὰρ οὐκ ἔχει mon. 574. ὁ ποιῶν δ' ἐλάχιστον τὸ γεγενημένον *(κακόν), | ἀμφότερον οὗτος εὐτυχεῖ τε καὶ φρονεῖ Philem. 4, 42 (23). ἐν δὲ τῇ λύπῃ φρονῶ ib. 51 (47). φρονοῦντός ἐστι ζημίαν πρᾴως φέρειν mon. 739. [μάταιός ἐστι καὶ φρονῶν οὐδὲν φρονεῖ Men. 4, 226 (1, 13)]. εἰ μὴ-ἀνθρώπου τύχαις | ὑπηρετήσω, *ποῦ φανήσομαι φρονῶν; Alexid. 3, 453 (2). θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς mon. 238. ὦ πᾶσι τοῖς φρονοῦσι προσφιλέστατε | Διόνυσε Diph. 4, 415 (1). τρεῖς-μόνους κρατῆρας ἐγκεραννύω | τοῖς εὖ φρονοῦσι Eubul. 3, 248 (1, 2). *ἤνπερ φρονῇς εὖ φεῦγε τὴν Βοιωτίαν Pher. 2, 343 (7). ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ' οὐδ' ἰσχύομεν, | σὺ (i. e. γῆρας) τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν ib. 359 (88). πολλοὶ- *(εὖ) λέγουσιν ἀδικίας χάριν, | τὰ δ' ἔργ' ἔχουσι φαῦλα κοὐ φρονοῦσιν εὖ Philem. 4, 48 (40c). ἂν εὖ φρονῇς, τὰ πάντα γ' εὐδαίμων ἔσῃ mon. 649. πᾶσιν-εὖ φρονοῦσι συμμαχεῖ τύχη mon. 462. ὦ πόλις, πόλις, | ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς Eup. 2, 510 (7, 3). ἔνιοι κακῶς φρονοῦσι πράττοντες καλῶς mon. 163. τί δ' ὄφελος *(εὖ) λαλοῦντος, ἂν κακῶς φρονῇ; Men. 4, 324 (464). ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ μηδὲ ἓν χεῖρον φρονῶν | *ἐπιτιθῆται τῇ ποιήσει, πάνυ δοκεῖ κακῶς φρονεῖν Eup. 2, 546 (1, 4. 5). γέρων γενόμενος μὴ φρόνει νεώτερα Philem. 4, 60 (88). θέλων καλῶς ζῆν μὴ τὰ τῶν φαύλων φρόνει mon. 232. μὴ τὰ τῶν ἄλλων φρόνει mon. 448. πένης ὑπάρχων μὴ φρόνει τὰ πλουσίων mon. 454. θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς mon. 243. ἄνθρωπον ὄντα δεῖ φρονεῖν τἀνθρώπινα mon. 1. εἰ θνητὸς εἶ-, θνητὰ καὶ φρόνει Antiph. 3, 148 (42a) = mon. 173. ὅστις-μεῖζον ἢ κατ' ἄνθρωπον φρονεῖ Antiph. 3, 20 (1, 3). *μεῖζόν τι τῶν ἄλλων φρονεῖν (int. τοὺς στρατηγούς) Alexid.

3, 391 (2, 4). *δοῦλος μεῖζον οἰκέτου φρονῶν* Men. 4, 289 (255). cf. mon. 323. **τοὐλεύθερον δὲ πανταχοῦ φρονεῖν μέγα* (int. *ἐχρῆν*) Men. 4, 128 (2). *θνητὸς γεγονώς-μὴ φρόνει μέγα* mon. 603. *ὅτ' εὐτυχεῖς μάλιστα μὴ φρόνει μέγα* mon. 432. *ἐπὶ *χρήμασιν δ' ὢν ἔμπορος φρονεῖ* (Dobr. *φρονεῖς*) *μέγα* Antiph. 3, 83. *μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν | αὐτῶν τε δόξῃ *κἀπὶ κάλλει σωμάτων* Men. 4, 233 (9, 5). **τί δὴ σὺ *σεμνοῖ καὶ φρονεῖς οὕτω μέγα;* Calliae 2, 739 (2). **ὃς* (int. *Διόνυσε*) *τὸν ταπεινὸν μέγα φρονεῖν *ποιεῖς μόνος* Diph. 4, 415 (1, 3). *ἐφ' ᾧ φρονεῖς μέγιστον ἀπολεῖ τοῦτό σε, | τὸ δοκεῖν τιν'* (an *τις*?) *εἶναι* Men. 4, 114 (3).

φροῦδος: **ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι *φροῦδαι* (cod. *φροῦδε*) Aristophan. 2, 1104 (1). *φροῦδον τὸ χειρόνιπτρον* Eup. 5, 37 (31).

φρούριον: *τοὺς περιπόλους *ἀπιέν' εἰς τὰ φρούρια* Eup. 2, 566 (56) cf. add. *βίον | ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια | τηροῦντες, οἳ* (an *ἢ*?) *τὰς ἀκροπόλεις κεκτημένοι* Men. 4, 92 (5, 3).

φρουρῶ: *νεανίας | φρουροῦντας ἀτεχνῶς κἀν σάμακι κοιμωμένους* Chionid. 2, 5 (1). *ἐν τῇδε-τῇ πόλει φρουρῶν *(ἐγώ) ποτ'* Eup. 2, 510 (5, 2). *σχεδόν τι μῆνας ἐγγὺς τρεῖς ὅλους | *φρουρῶ τὸν* (vulg. *φρουρατὸν*) *Ἐνδυμίωνα* Alcaei 2, 827 (1).

φρύαγμα: *εἶτ' ἐστὶ τό | φρύαγμα †εἴπως ἀνυπόστατον;* ('f. *πως ὑπόστατον;*' H. I.) Men. 4, 189 (1, 13) cf. 5, 104.

φρυάττεσθαι Men. 4, 316 (419).

φρύγανα: **ὅς* (Mnesilochus) *φρύγει τι δρᾶμα καινόν | Εὐριπίδῃ, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν* Telecl. 2, 371 (2).

φρυγανίστρια: Aristophan. 2, 1211 (174).

φρύγετρον: *αἱ χύτραι- καὶ τὸ φρύγετρον* Polyz. 2, 869.

φρυγεύς: *φρυγεύς, θυεία* (*θυΐα*), *λήκυθος* Theop. 2, 811 (4).

Φρυγία: *ἀνδράποδ' ἐκ Φρυγίας* Herm. 2, 408 (1, 18).

Φρυγικός: v. *φρύγω*.

Φρύγιος: *θεράπαινα Φρυγία* ap. Men. 4, 308 (352). *ἰσχάς, | Φρυγίας *εὑρήματα συκῆς* Alexid. 3, 456 (1, 16). *πότερ' ἦν τὸ τάριχος Φρύγιον ἢ Γαδειρικόν;* Eup. 2, 506 (23).

φρύγω: *πάντας ἑλὼν ὑμᾶς-, | φρύξας, ἑψήσας, *κἀπ' ἀνθρακιᾶς ὀπτήσας* Cratin. 2, 95 (5, 2). *νῦν δ' ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀναβράττειν* Pher. 2, 345 (18). *οἷσι νῦν | φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν* Cratin. 2, 217 (139[a]). *τρώγων ἐρεβίνθους ἀπεπνίγη πεφρυγμένους* Pher. 2, 341 (2). **φρύγει τι* (vulg. *Φρυγικόν τι* al. *Φρύγες ἐστὶ*) *δρᾶμα καινόν | Εὐριπίδῃ* Telecl. 2, 371 (2). Cf. *φώγνυμι*.

φρυκτός: *φρυκτοὺς καταλαβὼν ἢ κορακίνους ὠνίους* Anaxand. 3, 175 (1, 11). *τριχίδια καὶ σηπίδια καὶ φρυκτούς τινας* Alexid. 3, 455 (2, 3).

Φρύνη: *Φρύνης ἐρασθείς, ἡνίκ' ἔτι τὴν κάππαριν | συνέλεγεν οὔπω τ' εἶχεν ὅσαπερ νῦν ἔχει* Timocl. 3, 607 (1). de eius divitiis Amphid. 3, 310 (2). *ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ, | τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ' αὐτῷ σκάφει;* Anaxil. 3, 348 (1, 18). *περὶ-τὸν πανάθλιον | εὕδουσι γρᾶες, - | Γνάθαινα, Φρύνη, Πυθιονίκη* Timocl. 3, 608 (1). *Φρύνη πρὸ ἡμῶν γέγονεν ἐπιφανεστάτη | πολὺ τῶν ἑταιρῶν* Posidipp. 4, 517 (v. 1).

**Φρῦνις* (vulg. *Φρύνης* codd. *Φρύννις Φρύνις*) *δ' ἴδιον στρόβιλον ἐμβαλών τινα, | κάμπτων με καὶ στρέφων ὅλην διέφθορεν* Pher. 2, 327 (1, 14).

Φρυνίχειος: *τὸ Φρυνίχειον* (? imo *ἐκλακτίζειν*) ap. Eup. 2, 569 (66).

Φρύνιχος comicus ap. Herm. 2, 412 (7).

Φρυνώνδας: Eup. 2, 439 (9). 479 (41). Aristophan. 2, 1140 (10). ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ Aristophan. 2, 958 (17).

Φρύξ: cf. φρύγω. *ὁ τῶν Φρυγῶν τύραννος - | - Λαομέδων καλούμενος Antiph. 3, 40 (1, 2). τοὺς Φρύγας οἶδα θεωρῶν ‖ πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας Aristophan. 2, 1177 (6). τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον ib. 1173 (3). Hyperbolus Phryx Polyz. 2, 869 (5). Φρὺξ γὰρ ὢν (Tantalus) οὐχ ἱκανὸς ἦν | τὴν τοῦ τρέφοντος εὖ φέρειν παρρησίαν Nicol. 4, 579 (v. 10). οὐ πανταχοῦ Φρύξ εἰμι· τοῦ ζῆν ἣν ὁρῶ | *κρεῖττον τὸ μὴ ζῆν, χρήσομαι τῷ κρείττονι Apollod. 4, 451. cf. anon. 5, 124 (400). δειλότερος λαγὼ Φρυγός f. anon. 4, 652 (196).

φυγαδεύω: δεῦρ' αὐτὸν (Amorem) ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω Aristophont. 3, 361 (2, 7).

φυγάς: φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών Eubul. 3, 240 (v. 5). αὐλὰς θεραπεύειν δ' ἐστίν - | ἢ φυγάδος ἢ πεινῶντος ἢ μαστιγίου Diph. 4, 420 (10).

φυγεργός: βλάκες (βλᾶκες 5, 66) φυγεργοί (al. φιλεργοί) Aristophan. 2, 1131 (3).

φυή: *οὐδὲ δεινοῦ φυὴν (libr. οὐ δεινούφην) μελανούρου Cratin. 2, 141 (1).

φύκη: καρῖδα, φύκην, κωβιόν Alexid. 3, 429 (1, 13).

φυκίον v. φυκίς. φῦκος.

φυκίς: μαινίς, καρίς, | τρίγλη, φυκίς Antiph. 3, 72 (1, 8). *σαῦρος, [φυκία al. φυαία] φυκίς, βρίγκος, τρίγλη Ephipp. 3, 330 (1, 3). *σαῦρος, | τριχίας, φυκίς, βρίγκος, τρίγλη Mnesim. 3, 569 (v. 38). θυννίδες ὀπταί (al. ἑφθαί), φυκίδες ἑφθαί (an ὀπταί?) Anaxand. 3, 184 (1, 49). ἐπὶ τὸ τάγηνον φυκίδας, ψήττας τινάς, | καρῖδα, φύκην Alexid. 3, 429 (1, 12).

φῦκος: 1. *ὄστρεια-*τινα | ἰδὼν *γέροντα *φῦκος (vulg. φυκίοισιν codd. φυκίοις an φυκί'?) *ἠμφιεσμένα Alexid. 3, 429 (1, 2). 2. κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα Aristophan. 2, 1078 (6, 5). τοῖς συκαμίνοις δ' ἀντὶ τοῦ φύκους ὅλον | τὸ πρόσωπον Philippid. 4, 473.

φυλακή: γυμνῷ φυλακὴν ἐπιτάττειν Pher. 2, 326 (4). γυμνῷ φυλακὴν ἐπίταττε Philem. 4, 7 (1). ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει, | μήτ' - Men. 4, 192 (4, 3).

φύλαξ: ἐγὼ μὲν αὐτὸν οὔποτ' ὄλβιον καλῶ, | φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα Philem. 4, 49 (41, 7). αὐτοῦ προδότης κακός τε τῆς ὥρας φύλαξ Apollod. 4, 454 (1, 5). ῥιπὶς δ' ἐγείρει φύλακας (al. φλόγας) Ἡφαίστου κύνας Eubul. 3, 242 (1, 7). *πνευμάτων πολλῶν φύλαξ (i. e. πρωκτός) Eubul. 3, 254 (1, 9). βίου τιθήνη, πολεμία λιμοῦ, φύλαξ | φιλίας-, | τράπεζα Timocl. 3, 599 (2).

φύλαρχος: στεῖχ' εἰς ἀγοράν | πρὸς τοὺς Ἑρμᾶς, | οὗ προσφοιτῶσ' οἱ φύλαρχοι Mnesim. 3, 568 (v. 4).

Φυλάσιοι: τὸ Νυμφαῖον δ' ὅθεν προέρχομαι | Φυλασίων Men. 4, 106 (1).

φυλάττω: †κύων μελετήσας σαρκῶν ἀπογεύεσθαι φυλάττειν οὐκέτι δύναται τὴν ἀγέλην Antiph. 3, 160 (98) cf. add. †αὐτὸ δ' ἕκαστος ἔχων αὐτόν, καλέω δὲ φυλάττειν Eubul. 3, 255 (1, 27) cf. 5, 83. φύλαττε (int. χρήματα) μηδενί | ἄλλῳ μεταδιδούς Men. 4, 107 (2, 3). οἷς χαλεπώτερον | τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον Men. 4, 272 (172) = Diph. 4, 422 (20). εἰ μὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα mon. 172. ἀθάνατον ἔχθραν μὴ φύλαττε mon. 4. [οὔποτ' ἄνδρα χρὴ σοφόν | λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων Men. 4, 226 (1,

5)]. ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον mon. 144. σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον mon. 485. νόμος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος, | ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος Men. 4, 268 (151). τὸ γὰρ δίκαιον πανταχοῦ φυλακτέον Eup. 2, 457 (3). ταῦτ' ἔστι (an ταυτὶ τά?) τρία Θηραμένους, ἅ σοι φυλακτέ' ἐστίν Polyz. 2, 867 (1, 4). δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' (i. e. διαβολὴν) ὀρθῶς ἔχει Men. 4, 94 (1, 3). τὸ νοεῖν μὲν ὅσα δεῖ, μὴ φυλάττεσθαι δ' ἃ δεῖ ib. 255 (76). θυμὸν φυλάττου mon. 574. νέμεσιν φυλάσσου mon. 374. ἔστιν δ' ἁπάντων τῶν γενῶν μοι διαγραφή, | εἰς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ Diph. 4, 394 (2, 8). *ἔστιν δ' αὐτούς *(γε) φυλάττεσθαι τῶν νῦν χαλεπώτατον ἔργον Phryn. 2, 580 (1, 1). Κόρυδον τὸν χαλκοτύπον πεφύλαξο Cratin. min. 3, 377 (v. 1). ὦ φίλταθ' Ἑρμῆ, καὶ (?) *φυλάττου, μὴ πεσὼν | σαυτὸν παρακρούσῃ (an περικρούσῃ?), καὶ παράσχῃς διαβολὴν | ἑτέρῳ Διοκλείδᾳ- . | Ε. φυλάξομαι Phryn. 2, 602 (2, 1. 4). οὐκ ἦν φυλάττῃ γ' ὧδ' ἔχων τὴν ἀσπίδα Eup. 2, 528 (5).

φυλή: διότι φυλὴν περιμένω | σφόδρα φιλονεικοῦσαν λαχεῖν τιν' Amphid. 3, 306 (1, 6). †οὐ πόλιν ὅλην φυλὴν δὲ (f. αὐτοῦ πόλιν φυλήν θ' ὁ) μαλακὸς ἀνατρέπει Apollod. 4, 454 (1, 14).

Φυλή: τῆς Ἀττικῆς νομίζετ' εἶναι τὸν τόπον | Φυλήν Men. 4, 106 (1).

φυλλάς: κολοκύντη, ἔτνος, | θρῖον, φυλλάς Mnesim. 3, 569 (v. 31). *ἡ φυλλὰς ἡ δριμεῖα περιοισθήσεται Diph. (Sosipp.) 4, 383 (2, 4). *φυλλὰς ἡ δείπνων κατάλυσις ἥδε Calliae (Diocl.) 2, 737 (4).

φύλλιον ἢ ῥαφανίδιον Plat. 2, 671 (6).

φύλλον: βύστραν τιν' ἐκ φύλλων τινῶν Antiph. 3, 98.

φυλλοροεῖν: τὰ δὲ δὴ δένδρη - χορδαῖς ὀπταῖς ἐριφείοις | φυλλοροήσει Pher. 2, 316 (1, 10) cf. 5, 28.

φυλλοτρῶγες: Ἕλληνες μικροτράπεζοι | φυλλοτρῶγες Antiph. 3, 94 (v. 2).

φῦλον: περιήλθομεν καὶ *φῦλον ἀμφορεαφόρων Eup. 2, 507 (25).

φύραμα: ξηρὸν φύραμ', ἄρτοι ξηροί Mnesim. 3, 569 (v. 11).

Φυρόμαχος: 1. Μελανιππίδης ἑταῖρός ἐστι καὶ Φάων | καὶ Φυρόμαχος καὶ Φᾶνος Alexid. 3, 483 (2, 16). 2. τίς ἐκ μέσου τὰ θερμὰ δεινὸς ἁρπάσαι; | ποῦ Κόρυδος, ἢ Φυρόμαχος, ἢ *Νείλου βία; Euphron. 4, 492 (v. 6).

φύσημα: Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι Diph. 4, 419 (7, 4).

φυσικός: φυσικόν *(γε) τοῦθ'· ἕκαστος ἐν ταῖς ἀτυχίαις | ἥδιστα *πρὸς τοὺς ὁμοπαθεῖς ὀδύρεται Apollod. 4, 452 (2).

φύσις: περὶ - φύσεως ἀφοριζόμενοι | διεχώριζον ζῴων τε βίον | δένδρων τε φύσιν λαχάνων τε γένη Epicrat. 3, 370 (1, 13. 15). τῶν - γηθύων | ῥίζας, ἐχούσας *σκοροδομίμητον φύσιν Aristophan. 2, 945 (6). τί ποτε Προμηθεύς - | - τοῖς μὲν θηρίοις | ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν; ‖ οὐκ ἔστ' ἀλώπηξ ἡ μὲν εἴρων τῇ φύσει | ἡ δ' αὐθέκαστος, ἀλλ' ἐὰν τρισμυρίας | ἀλώπεκάς τις *συναγάγῃ, μίαν φύσιν | ἁπαξαπασῶν ὄψεται τρόπον θ' ἕνα Philem. 4, 32 (3, 3. 6. 8). ἣν δ' ἂν εἰσενέγκηται φύσιν | ἕκαστον (int. τῶν θηρίων), εὐθὺς καὶ νόμον ταύτην ἔχει ib. 36 (8, 5). τευθὶς μεταλλάξασα λευκαυγῆ φύσιν | σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασιν Antiph. 3, 126 (1, 20). μετ' αὐτῶν δ' εἰσὶν ἐκπρεπεῖς φύσιν | αἱ ξανθοχρῶτες Nausicr. 4, 575 (2, 1). τίς οὖν τοσαύτην παῖς ἔχων ἔσται φύσιν; | Α. ὕπνος Alexid. 3, 493 (1, 8). οὐδέν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν ib. 512 (15). ὁμοιότατος ἄνθρωπος οἴνῳ τὴν φύσιν | τρόπον τιν' ἐστί ib. 405 (6, 1). ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει Timocl. 3, 592 (v. 2). ὦ πῶς (?) πονηρόν ἐστιν ἀνθρώπου φύσις | τὸ σύνολον Philem. 4, 3 (v. 1). ἀσθενέστατον

γὰρ ὄν (homo) | φύσει, μεγίστοις οἰκονομεῖται (διαπονεῖται?) πράγμασιν Men. 4, 227 (2, 14). οὕτως ἐσμὲν ἀχάριστοι φύσει Cratet. (Antiph.?) 2, 247 (1, 4). ἀεὶ δ' ὁ σωθείς ἐστιν ἀχάριστον (ἀχάριστος mon. 34) φύσει Men. 4, 325 (472) = mon. 34. εὔπιστον (an εὔπειστον?) ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει Men. 4, 183 (4, 1). καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν ib. 175 (4). φύσει γάρ ἐστ' ἔρως | τοῦ νουθετοῦντος κωφόν ib. 86 (1). φύσει γυνὴ δυσάνιόν ἐστι καὶ πικρόν ib. 290 (259ª). γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει mon. 97. ὡς ἔστ' ἄπιστος (al. ἄπιστον) ἡ γυναικεία φύσις mon. 560. ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν | ὡς οὐχὶ μικροῖς ἥδεται ποτηρίοις Eubul. (Arar.) 3, 226 (2, 3). *τόδε δ'-τὸ γένος (int. piscarii) ὥσπερ θηρίον | ἐπίβουλόν ἐστι τῇ φύσει καὶ πανταχοῦ Diph. 4, 407 (1, 4). πάνυ γάρ ἐστι τῇ φύσει | **φιλάνθρωπον τὸ παιδάριον σφόδρα Men. 4, 198 (5). τοιοῦτος ὁ τρόπος ἐστὶν ἡ φύσις τέ μου Axionici 3, 534 (1, 16). οὐ γὰρ τὸ πλῆθος-τοῦ ποτοῦ | ποιεῖ παροινεῖν, τοῦ πιόντος δ' ἡ φύσις Men. 4, 256 (82). ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν | εἶναι δίκαιος κοὐ δοκεῖν εἶναι θέλει Philem. 4, 37 (10, 7). ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις | ἀποδῷ τι σεμνόν, τοῦτο δ' ἡ τύχη κακοῖ Men. 4, 177 (1). πολλοὺς δι' ἀνάγκην-πονηροὺς οἶδ' ἐγώ | ὅταν ἀτυχήσωσιν γεγονότας, οὐ φύσει | ὄντας τοιούτους ib. 254 (71). πολλοὺς-ἐνίοθ' ἡ πενία βιάζεται | ἀνάξι' αὐτῶν ἔργα παρὰ φύσιν ποιεῖν Timocl. 3, 609. φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον mon. 531. ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει mon. 203. τοῖς ἤθεσιν-, *οἷς ὑπηρετοῦσ' ἀεί, | προσέχουσα τούτοις ἡ φύσις κεράννυται Alexid. 3, 407 (3, 4). οἷς ἂν τῇ φύσει | ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσόν, | ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα Men. 4, 229 (4, 2). ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά, | κἂν Αἰθίοψ ᾖ-, ἔστιν εὐγενής ib. (4, 11). *πῶς *(γὰρ) ἐγένου δίκαιος; ** | Α. ἡ μὲν φύσις τὸ μέγιστόν *(ἐστ'), ἔπειτα δέ | κἀγὼ *προθύμως *τῇ φύσει (vulg. τὴν φύσιν) συνελάμβανον Eup. 2, 457 (4). ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπος | χρηστός, διπλασίως ὁ προσιὼν ἁλίσκεται Men. 4, 259 (99). ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων ib. 258 (92). ὁ βαθὺς τῇ φύσει | στρατηγὸς ἕστηκεν, *τὸ πρᾶγμ' ἐδέξατο Posidipp. 4, 523 (1, 4). δηλώσεις γὰρ οὕτω τὴν φύσιν, | ἐπὶ τί μάλισθ' *ὥρμηκε Alexid. 3, 444 (1, 7). ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ mon. 213. οὐκ ἔστιν οὐδέν-ἐν ἀνθρώπου φύσει | μεῖζον λογισμοῦ *τῷ διαθέσθαι πράγματα Men. 4, 141 (1). ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν, | ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις Crobyl. 4, 566 (2). αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπων (al. ἀνθρώπου) φύσιν Men. 4, 157 (2, 3). ἡ φύσις μία | πάντων, τὸ δ' οἰκεῖον συνίστησιν *τρόπος ib. 185 (2). τὸν τῇ φύσει | οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ anon. 4, 690 (347). φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτέ Philem. 4, 47 (39, 2). γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις mon. 100. τούτῳ (asino) κακὸν δι' αὐτὸν οὐδὲν γίγνεται, | ἃ δ' ἡ φύσις δέδωκεν *αὐτὰ ταῦτ' ἔχει Men. 4, 230 (5, 6). ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι, | ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά ib. (5, 13). τί τἀργύριον-τιμιώτερον | αὑτοῦ (Dobr. αὐτοῦ) τέθεικας ἢ πέφυκε τῇ φύσει; Baton. 4, 499 (1, 8). μείζω τὰ κακὰ ποιοῦσι πολλοί- | αὐτοὶ δι' αὐτοὺς ἢ πέφυκε τῇ φύσει Philem. 4, 34 (5, 2). πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν | λύπη ib. 43 (27ᵇ). πολλῶν φύσει τοῖς πᾶσιν *ἀνθρώποις κακῶν | ὄντων μέγιστόν ἐστιν ἡ λύπη κακόν Men. 4, 263 (123). οὐκ ἔστι λύπης- | ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει ib. (121). τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει | πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων ib. 203 (6). ὁ δ' ἡλίκον

μὲν ἡ φύσις φέρει λαλῶν, | μηδὲν ποιῶν δ' ἄσχημον, οὗτος κόσμιος Philem. 4, 5 (2, 3). *βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει* | ἅπαντα ταῦτα. φεῦγε τὰς λύπας *(μόνον)* ib. 42 (22,4). *ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν, | ἐκ τοῦ κακοῦ τ' ἤνεγκεν ἀγαθὸν ἡ φύσις* Men. 4, 194 (8, 4). *ὁ μὴ φέρων δὲ κατὰ φύσιν τὰ πράγματα | τύχην προσηγόρευσε τὸν ἑαυτοῦ τρόπον* ib. 247 (43). *εἶτα τύπτεσθαι δέδεικται καὶ παροινεῖν· ταῦτα γάρ | κατὰ φύσιν πέφυκεν οὕτως. καὶ τί μάντεως ἔδει;* Alexid. 3, 454 (1, 7). *ὁ μὲν οὖν Ῥόδιος πιών τιν' ἅλμην ἀπέθανεν. | παρὰ τὴν φύσιν γὰρ τὸ ποτὸν ἦν. μάλ' εἰκότως* Anaxipp. 4, 459 (v. 18). *μηδέποτε πειρῶ στρεβλὸν ὀρθῶσαι κλάδον, | *φύσιν δ' ἐνεγκεῖν *οὗ φύσις βιάζεται* Men. 4, 270 (163) cf. 5, 107. *τοὺς τῆς φύσεως οὐκ ἔστι λανθάνειν νόμους* mon. 492. *μεστὴν *ὁρῶντα τὴν πόλιν νεωτέρων, | τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν* Philem. 4, 4 (1, 6). cf. ad Amphid. 3, 308 (1, 6). *ἀσύμβολον κλίνειν-ἀναγκάζει φύσιν* Anaxand. 3, 176 (1, 18). *τὴν φύσιν | ἵνα διεγείρας πνευματῶ τὸν ἀέρα* Anaxipp. 4, 460 (v. 46). *ὧν ἡ φύσις δεῖται-ἐπιμελῶς φέρει* (int. *ἀγρός*) Philem. 4, 44 (28, 2). *ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις* mon. 668. *τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις | θνητοῖς μεγίστας* Alexid. 3, 517 (30, 1). *ἡ φύσις ἑκάστου *τοῦ γένους ἐστὶν πατρίς* mon. 210. *ἡ φύσις πάσης τέχνης | ἀρχέγονόν ἐστ'* Damox. 4, 530 (v. 7). *καὶ τῆς ἰατρικῆς τι μετέχειν μοι δοκεῖς. | Α. καὶ πᾶς ὁ φύσεως ἐντός* ib. 531 (v. 34). *περὶ φύσεως κατεῖχε πάντας τοὺς λόγους* Sosip. 4, 482 (v. 17). **ἆρ' εἶ κάτοπτρον *φύσεος* (vulg. *φύσεως*) *ἦν πλῆρες δοθῆς* (de Thericleo poculo) Theop. 2, 804 (v. 3). *ἔστι φύσις θήλεια βρέφη σώζουσ' ὑπὸ κόλποις | *αὑτῆς* Antiph. 3, 112 (1, 1). *ἡ μὲν φύσις-ἣν λέγεις ἐστὶν πόλις* ib. (1, 6). *θήλεια μέν *νύν ἐστι φύσις ἐπιστολή* ib. (1, 17).

φύσκη: *ἐν δὲ ταῖς λέσχαισι φύσκαι* (al. *φύσται*) *προσπεπατταλευμέναι | κατακρέμανται* Cratin. 2, 107 (1, 3). *σχελίσιν καὶ φύσκαις καὶ ῥαφανῖσιν* Aristophan. 2, 1052 (12). *χορδαί, φύσκαι* (Bk. *φῦσκαι*), *πάσται, ζωμοί* (al. *ζωμός*) ib. 1184 (32). *τευθίς, *ἄρ|νειον κρέας, φύσκης τόμος* Pher. 2, 269 (1, 4). *φύσκαι* (Bk. *φῦσκαι*) *-καὶ ζέοντες ἀλλάντων τόμοι* ib. 299 (1, 8). *τόμος ἀλλᾶντος, τόμος ἠνύστρου, | χορδῆς ἕτερος, φύσκης ἕτερος* Mnesim. 3, 569 (v. 15). *γαστήρ τε λαγώ, φύσκη, χορδή* Eubul. 3, 234 (1, 6). *ἰχθῦς κωλᾶς φύσκας* Plat. 2, 619 (3). *φυσκῶν, ζωμοῦ, τεύτλων, θρίων* Anaxand. 3, 184 (1, 40). *ὅτι μόνος φύσκην ποιῶ, | κάνδαυλον, ᾠά, θρῖον* Philem. 4, 18 (1, 2).

φυστή: *ἐπὶ τῶν τραπεζῶν τιθέναι τυρὸν καὶ φυστὴν* (vulg. *φύστην*) *δρυπεπεῖς τ' ἐλάας καὶ πράσα* ex Chionid. 2, 8 (4). **πράσα, *γήτειον, κρόμμυα, φύστη* (an *φυστή*?) Anaxand. 3, 184 (1, 56). Cf. *φύσκη*.

†**φυστημινείς** Antiph. 3, 76.

φυσῶ: *πέτεται κοῦφος ὢν* (int. *πάππος*), | *δήπουθεν ὑπὸ τῶν παιδίων φυσώμενος* Eubul. 3, 255 (1, 22). *ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδὲ ἕν. | Β. ἔπειτα φυσᾶν- οὐκ ἠδύνω;* Philippid. 4, 472 (1). *ἀνέπλησα τὠφθαλμὼ πάλης φυσῶν τὸ πῦρ* Pher. 2, 279 (5). *τὸ ἱερὸν πῦρ φυσᾶν* ex Arched. 1, 459. *ἐψῆσαί τε καὶ φυσᾶν τὸ πῦρ | ὁ τυχὼν δύναιτ' ἄν* Dionys. 3, 548 (v. 16). *πῦρ τ' ὀξὺ καὶ μὴ πολλάκις φυσώμενον | ἐποίουν* Anaxipp. 4, 459 (v. 12). *ἔτνος κυάμινον διότι τὴν μὲν γαστέρα | φυσᾷ, τὸ δὲ πῦρ *οὔ;* Henioch. 3, 562 (v. 8). *ψυχρὸν τουτί* (f. *τουτί·*) | *παύου φυσῶν, Μακεδὼν ἄρχων· | *σβέννυ Κελτούς, μὴ *προσκαύσῃς* Ephipp. 3, 323 (1, 20). *ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα* Men. 4, 157 (2, 2). *οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε-;* Antiph. 3, 63.

φυτεύω: *ἐπίσταμαι-αἰπολεῖν, σκάπτειν, νεᾶν, φυτεύειν* Eup. 2, 430 (9[a]). *εἰς ὥρας ἐγώ | πλεύσω, φυτεύσω* Philem. (?) 4, 41 (21). *συκᾶς φυτεύω πάντα πλὴν Λακωνικῆς* Aristophan. 2, 986 (2). *τὴν-Ἀφροδίτην ἐν Κύπρῳ | δένδρον φυτεῦσαι τοῦτό φασιν ἓν μόνον* (int. *ῥόας*) Eriph. 3, 557 (1, 12). *πεφυτευμένη *δ' αὕτη 'στὶν ἢ ψιλὴ μόνον* (?); Eup. 2, 509 (3). *σκληράν, ἄκαρπον καὶ φυτεύεσθαι κακήν* anon. 4, 672 (296[a]).

φυτόν: *τί ποτ' ἄρ' ὡρίσαντο καὶ τίνος γένους | εἶναι τὸ φυτόν* (i. e. *κολοκύντην*); Epicrat. 3, 370 (1, 19). *εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτόν-;* Alexid. 3, 446 (1, 1). *κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή* mon. 304.

φύω: *ἐγὼ δὲ *τοῦτ' ὀλίγον χρόνον *φύσας* (vulg. *φήσας*) *ἀφειλόμην ἄν* Aristophan. 2, 1171 (1, 11). *οὐ γὰρ ἄν ποτε | θοἰμάτιον ἀπενέγκαιμι μὴ φύσας πτερά* Alexid. 3, 428 (1, 6). *φύεσθαί τ' ἀεί | καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν* (de somno) Alexid. 3, 493 (1, 3). *κάλλιστον ἐν κήποισι φύεται ῥόδον* mon. 286. *ἐκεῖ* (i. e. apud Scythas) *μόνον- *οὐχὶ φύετ' ἄμπελος* Antiph. 3, 32 (v. 3). *σικύους *ἐνθάδε πη φυομένους* Aristophan. (?) 2, 1200 (101) cf. add. *ἐν τοῖς ὄρεσιν *(δ') αὐτομάτοισιν τὰ *μιμαίκυλ' ἐφύετο* (vulg. *μιμαίκυλα φύεται*) *πολλά* Aristophan. 2, 1178 (8) cf. add. *εἰκὸς δή που πρῶτον ἁπάντων | ἴφυα φῦναι | καὶ τὰς κραναὰς ἀκαλήφας* ib. 1169 (4). *ἄγνου-ἐν χαράδρᾳ πεφυκότος* Chionid. 2, 6 (2). *τὰ δὲ μῆλ' *ἐκρέματο - | ὑπὲρ κεφαλῆς, ἐξ *οὐδενὸς πεφυκότα* Pher. 2, 300 (1, 27). *ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ *βαλλαντίου* Telecl. 2, 371 (1, 2). *παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε | πάντων ἀνθρώπων* Plat. 2, 615 (1, 2). *ὦ θεῖε Μόρυχε, *πῶς γὰρ *οὐ δαίμων ἔφυς;* Plat. 2, 652 (1) cf. 5, 46 et add. *Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος* Nicol. 4, 579 (v. 2). *παρθένου Ἀρτέμιδος γὰρ ἔφυ* (int. *τρίγλη*) Plat. 2, 673 (1, 20). **κἂν αἰγέρων ἔφυσαν εὐγενέστεραι* anon. 4, 621 (61). *οὐκ ἔστιν ἀγαθὸν τῷ βίῳ | φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, | ἀλλ' ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν* Men. 4, 194 (8). *οὐδὲ φύεται | αὐτόματον ἀνθρώποισιν-νοῦς | ὥσπερ ἐν ἀγρῷ *θύμος* (an *θύμ'*?)· *ἐκ δὲ τοῦ λέγειν *τε* (cod. *τι*) *καί | ἑτέρων ἀκούειν- | κατὰ μικρὸν ἀεί, φασί, φύονται φρένες* Philem. 4, 34 (6). *ὀργῇ †παραλογισμός ποτ'* (an *ὀργῇ, πάτερ, λογισμὸς*?) *οὐδεὶς φύεται* Men. 4, 252 (64). *οὐκ ἐν γυναικὶ φύεται *πιστὴ χάρις* ib. 241 (27[b]). *ἐξ ἡδονῆς-φύεται τὸ δυστυχεῖν* mon. 184. *λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ* mon. 320. *ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ* mon. 517. *τῶν φίλων-ὧν φίλος | ἔργοισι χρηστὸς οὐ λόγοις ἔφυν μόνον* Antiph. 3, 111 (v. 13). *ὅστις ἄνθρωπος-φύς | ἀσφαλές τι κτῆμ' ὑπάρχειν τῷ βίῳ λογίζεται-* ib. 115 (1, 1). *θνητὸς πεφυκὼς τοὐπίσω πειρῶ βλέπειν* mon. 249. *θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα* mon. 670. *θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι* Diph. 4, 426 (35). *δοῦλος πεφυκὼς εὐνόει τῷ δεσπότῃ* mon. 116. *ξένος πεφυκὼς τοὺς ξενηδόχους σέβου* mon. 402. *νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε* mon. 373. *ξυνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν* mon. 398. *ὡς δ' ὀρθοπλήξ. B. πέφυκε γὰρ δυσγάργαλις* Aristophan. 2, 961 (3). *κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή* mon. 304. *μεστὸν κακῶν πέφυκε φορτίον γυνή* mon. 334. *ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος* mon. 469. *τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή* mon. 493. *βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή* mon. 77. *ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή* mon. 261. *ὕπνος πέφυκε σωμάτων σωτηρία* mon. 520. *ἡ *δ' ἀργία πέφυκεν ἀνθρώποις κακόν* mon. 602. *δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα* mon. 658. *τιμὴ πέφυκε*

πᾶσι παιδεία βροτοῖς mon. 721. λιμὴν πέφυκε πᾶσι παιδεία βροτοῖς mon. 312. θεοῦ πέφυκε δῶρον εὐγνώμων τρόπος mon. 241. θεὸς πέφυκεν ὅστις οὐδὲν δρᾷ κακόν mon. 234. *καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλος | καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου Men. 4, 267 (145). αὐτοῦ πέφυκε τοῦ γέλωτος κατάγελως ib. 274 (181) cf. add. τὰ πράγμαθ᾽ ὡς πέφυκεν οὕτως γίγνεται Philem. 4, 38 (13, 6). τί τἀργύριον-τιμιώτερον | αὐτοῦ (Dobr. αὑτοῦ) τέθεικας ἢ πέφυκε τῇ φύσει; Baton. 4, 499 (1, 8). μείζω τὰ κακὰ ποιοῦσι πολλοί- | αὐτοὶ δι᾽ αὐτοὺς ἢ πέφυκε τῇ φύσει Philem. 4, 34 (5, 2). ταῦτα- | κατὰ φύσιν πέφυκεν οὕτως Alexid. 3, 454 (1, 7). πάντα δ᾽-ὅλως | ἑτέρων πέφυκεν *ἧττον᾽, ὧν δὲ μείζονα Philem. 4, 11 (v. 6). αἰσχρόν γ᾽ ὅταν τις †ἐπὶ γλώσσῃ φυεὶς | γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους Men. 4, 257 (87). Caeterum cf. ad Men. 4, 259 (95). adde 5, 101.

φώγνυμι: ἰσχάδας μοι *πρόελε τῶν πεφωγμένων (al. πεφρυγμένας al.) Pher. 2, 281 (2).

φῷδες: φῷδας τοσαύτας εἶχε τὸν *χειμῶν᾽ ὅλον Aristophan. 2, 1092 (1).

φῴζειν: ἀνδρείως φῴζειν ὥσπερ μύστακα σεαυτόν (an σαυτόν?) Stratt. 2, 789 (6) cf. add.

Φᾶκος: de Callia et Φάκου uxore Cratin. 2, 220 (140).

φωνάριον: τούτοις-τρέφεται τὸ πνεῦμα καί | τὸ φωνάριον ἡμῶν *περίσαρκον γίγνεται Clearch. 4, 563 (2).

φωνή: Ἑρμῆς ἔγωγε Δαιδάλου φωνὴν ἔχων Plat. 2, 682 (6, 2). ἰχθῦς ἐπριάμην τεθνηκότας | -· κρεάδι᾽ ἀρνός *ἐστι πίονος | οὐ ζῶντος· -καί | ἡπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐάν | δείξῃ τις ἢ φωνήν *τι ἢ ψυχὴν ἔχον, | ἀδικεῖν *ὁμολογῶ Alexid. 3, 397 (1, 8). ἀλλὰ φωνὴν οὐκ ἔχειν | ἰχθύν γέ φασι τὸ παράπαν Pher. 2, 311 (3). πίννη καὶ τρίγλη φωνὰς *ἰχθῦ δύ᾽ ἔχουσαι | πόλλ᾽ ἐλάλουν Antiph. 3, 109 (v. 15). εἶτ᾽ εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες, | ὧν ταῖς γυναιξὶν οὐδ᾽ ὁτιοῦν φωνῆς ἔνι; Xenarch. 3, 625. βλέμμα καὶ φωνὴ γυναικός, τὰ σκέλη (Theanus) δὲ κοψίχου Anaxil. 3, 348 (1, 21). ῥῆξαί με *(φωνὴν) καὶ φράσαι *δεῖ *(τὸν) λόγον anon. 4, 648 (175). φθέγξαι σὺ τὴν φωνὴν *ἀναστήσας ἄνω Aristophan. 2, 1183 (27) cf. 5, 69. κλαγκταῖσι φωναῖς** Antiph. 3, 136 (7, 4). de vocibus hominum frigore congelantibus, aestate exauditis Antiph. 3, 160 (97). σὺ μὲν ἀττικίζεις, ἡνίκ᾽ ἂν φωνὴν λέγῃς | *αὐτοῦ τιν᾽, οἱ δ᾽ Ἕλληνες ἑλληνίζομεν Posidipp. 4, 524 (2, 2). ὥσπερ χρυσίου | φωνῆς ἀπότισον-καταλλαγήν Euphron. 4, 489 (v. 4). τόν τ᾽ ἰχθυόρρουν ποταμὸν Ὑπερείδην *πέρα, | ὃς ἠπίαις φωναῖσιν ἔμφρονος λόγου | κόμποις παφλάζων- Timocl. 3, 602 (3, 2). σεμναὶ δ᾽ αὐλῶν *ἀγαναὶ φωναί Mnesim. 3, 570 (v. 56). ἀκούειν *προβατίων βληχωμένων | τρυγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης Aristophan. 2, 1108 (1, 6). βαὺ βαὺ καὶ κυνὸς φωνὴν *ἱείς anon. 4, 652 (195).

φωνῶ: οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα, | προσηγορεύθη (Niobe) διὰ τὸ μὴ φωνεῖν λίθος Philem. 4, 40 (16, 6).

φώρ: Ἀργεῖοι φῶρες Aristophan. 2, 965 (22).

φώς: Προιτίδας ἁγνίζων κούρας καὶ τὸν πατέρ᾽ αὐτῶν, | -καὶ γραῦν πέμπτην ἐπὶ τοῖσδε, | δᾳδὶ μιᾷ σκίλλῃ τε μιᾷ, πόσα (Grot. τόσα) σώματα φωτῶν Diph. 4, 416 (3, 3).

φῶς: ὥσπερ εἰς πανήγυρίν τινα | ἀφειμένους ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους | εἰς τὴν διατριβὴν εἰς τὸ φῶς τε τοῦθ᾽ ὃ δή | ὁρῶμεν Alexid. 3, 484 (3, 13). [κἀκ βυθοῦ πλάνης | εἰς φῶς ἀνέλκων ἐκ μακρᾶς ἀταξίας Plat. 1, 196 (v. 4)]. ἀνοίγετ᾽ ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς | ὦμεν καταφανεῖς μᾶλλον Timocl. 3, 611 (v. 1). *τοὐπτάνιον ὀρθῶς

καταβαλέσθαι καὶ τὸ φῶς | *λαβεῖν ὅσον δεῖ καὶ τὸ πνεῦμ' ἰδεῖν πόθεν | ἔστιν- Sosip. 4, 483 (v. 39). φῶς | μόνον πολὺ *ποίει Men. 4, 87 (5). ἀπνευστί *τ' ἐκπιὼν ‖ -, διὰ τί νῦν μὴ 'κωμάσω | ἄνευ *λυχνούχου πρὸς τὸ *τηλικοῦτο φῶς; Alexid. 3, 495 (v. 6). ἔγχελυς, *ἃ μέγα μοι μέγα σοι φῶς ** ἐναργές (f. ἃ μέγ' ἐμοὶ μέγα σοι φῶς ἔσσετ' ἐναργές vel φάος ἔσται ἐναργές) Eubul. 3, 222. φῶς ἐστι τῷ νῷ πρὸς θεὸν βλέπειν ἀεί mon. 589. ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον Men. 4, 198 (3). ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος mon. 11. †πάντα ἀνακαλύπτων ὁ χρόνος πρὸς (l. πάντ'-εἰς τὸ) φῶς φέρει mon. 459. χρόνος τὰ κρυπτὰ πάντα πρὸς *(τὸ) φῶς ἄγει mon. 592. cf. Philem. 4, 61 (97).

φώσσων: ὅτ' ἐν φώσσωνι (Bk. φώσωνι) τὴν *ἴσην ἔχων | μετ' ἐμοῦ *διῆγε μοῖραν Cratin. 2, 164 (4) cf. add.

φωσφόρος: ἐκφέρετε πεύκας κατ' Ἀγάθωνα φωσφόρους Aristophan. 2, 1180 (17). κύων ἀκράχολος | Ἑκάτης ἄγαλμα φωσφόρου Aristophan. 2, 1195 (82). αἷς καὶ θεὰν τιμῶσι φωσφόρον Κόρην | δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι. | Β. τρίγλας (al. τρίγλαν) λέγεις Nausicrat. 4, 575 (2, 4). νὴ τὴν Φωσφόρον Antiph. 3, 33 (1, 6) = νὴ τὴν Ἄρτεμιν Eriph. 3, 556 (1, 6).

X.

Χαβρίας: ὁ Χαβρίου Κτήσιππος Timocl. 3, 592. Diph. 4, 391 (1, 2).

Χαιρέας: Chaereae peregrinam originem notavit Eup. 2, 454 (19). οὐ συμποσίαρχος ἦν γὰρ ἀλλὰ δήμιος | ὁ Χαιρέας, κυάθους προπίνων εἴκοσιν Alexid. 3, 393 (2).

Χαιρέστρατος: κεραμεύων *ἂν οἴκοι σωφρόνως Χαιρέστρατος | ἑκατὸν *(ἂν) τῆς ἡμέρας *ἔκαεν οἴνου κανθάρους Phryn. 2, 586 (1).

Χαιρέφιλος: τοὺς Χαιρεφίλου δ' υἱεῖς (an ποιεῖν? ed. min.) Ἀθηναίους, ὅτι | εἰσήγαγεν τάριχος Alexid. 3, 413. Χαιρεφίλου τοὺς δύο σκόμβρους Timocl. 3, 600 (1). παριόντα *Φείδιππον πάνυ | τὸν Χαιρεφίλου πόρρωθεν ἀπιδὼν τὸν παχὺν ib. 606 (v. 6).

Χαιρεφῶν: 1. Socraticus: ab Cratino ut αὐχμηρὸς et πένης notatus 2, 131 (22). eundem et πύξινον vocavit Eup. 2, 516 (22) et Calliae adulatorem ib. 490 (8^b). furem dixit Aristophan. 2, 1062 (6), sycophantam ib. 1162 (14), item νυκτὸς παῖδα ib. 1175 (15). 2. parasitus: Χαιρεφῶν οὕτως ** | *μεμάθηκε κωμάζειν ἄδειπνος Antiph. 3, 114 (1). καλὸς ὁ καιρός, Χαιρεφῶν Nicostr. 3, 287 (v. 3). ἐπὶ δεῖπνον εἰς Κόρινθον ἐλθὼν Χαιρεφῶν | ἄκλητος· ἤδη γὰρ πέτεται διαπόντιος Alexid. 3, 480 (2). ἀεί γ' ὁ Χαιρεφῶν τιν' εὑρίσκει τέχνην· | καὶ νῦν πορίζεταί γε (?) τὰ δεῖπν' ἀσύμβολα ib. 501 (v. 1). εἰς ἑπτάκλινον δ' ἐστίν-, | *ἂν μὴ παράβυστός που γένηται Χαιρεφῶν Timoth. 3, 589. ὁ Χαιρεφῶν μὲν παντελῶς | οἴκαδε βαδίζειν ᾤετ' Timocl. 3, 597 (2, 3). ἐμὲ-διέτριψεν ὁ | κομψότατος ἀνδρῶν Χαιρεφῶν, ἱερὸν γάμον | φάσκων ποιήσειν δευτέραν μετ' εἰκάδα | καθ' αὑτὸν Men. 4, 162 (2). διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ | *ἄνθρωπος ὅστις ἐστίν ib. 179 (2). adde ib. 85 (1). 148 (6). καινόν γέ φασι Χαιρεφῶντ' ἐν τοῖς γάμοις | ὡς τὸν Ὀφέλαν ἄκλητον εἰσδεδυκέναι Apollod. Car. 4, 447 (v. 1). καλῶ δὲ Χαιρεφῶντα· κἂν γὰρ μὴ καλῶ, | ἄκλητος ἥξει ib. 449.

Χαιρήμων: οὐ κύλικας ἐπὶ τὰ δεῖπνα Χαιρήμων φέρει *(;) Ephipp. 3, 328 (2).

Χαίριππος: *τὸν ἄμητα, *Χαίριππ', οὐκ ἐᾷς πέττειν τινά* Men. 4, 215 (11). *τρίτον δὲ πρὸς τούτοισι τὸν σοφώτατον* (?) | *Χαίριππον* Phoenicid. 4, 510 (v. 2).

Χαῖρις: tibicen Cratin. 2, 85 (12). *κιθαρῳδὸς τίς κάκιστος ἐγένετο;* | *B.* *(*ὁ*) *Πεισίου Μέλης. A. μετὰ* *(*δὲ*) *Μέλητα* **τίς;* | *B.* -*Χαῖρις* Pher. 2, 257 (4) cf. add.

χαίρω: cf. *χαρίεις*. *αἰτῶ δ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν,* | *τρίτον δὲ χαίρειν, εἶτ' ὀφείλειν μηδενί* Philem. 4, 56 (68). *χαίρωμεν, ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν* *Alexid. 3, 394 (v. 5). *χαίρειν προσήκει τοῖς παθῶν ἐλευθέροις* mon. 591. *γελῶντα καὶ χαίροντα καὶ τεθολωμένον* Pher. 2, 313 (7). *χαίρει, παίζει, πηδᾷ, δειπνεῖ* Mnesim. 3, 570 (v. 54). *γέγηθα καὶ χαίρω τι καὶ* **πτερύττομαι* Diph. 4, 404 (2, 6). *σφαῖραν λαβών* | *τῷ μὲν διδοὺς ἔχαιρε, τὸν δ' ἔφευγ' ἅμα* Antiph. 3, 136 (7, 2). *τὸ σκύφος ἔχαιρον δεχόμενος* Epigen. 3, 538 (3). *χαίρειν ἐπ' αἰσχροῖς οὐδέποτε χρὴ πράγμασιν* mon. 544. *ἐγὼ δὲ χαίρω πρός γε τοῖς σοῖς παιδικοῖς* Eup. 2, 561 (38). *πάνυ τοῦτ' ἐπαινῶ,* | *καὶ καταπλήττομαι δοκῶν τοῖσι λόγοισι χαίρειν* Eup. 2, 484 (1, 10). *χαῖρ', ὦ μέγ' ἀχρειόγελως ὅμιλε, ταῖς ἐπίβδαις* Cratin. 2, 192 (51, 1). *οὐδεὶς-χαίρει πολιοκροτάφῳ παρασίτῳ* Alexid. 3, 502 (2). *εἰ μή τις ἄλλως ὀνόμασιν χαίρει κενοῖς* Men. 4, 213 (3, 11). *μὴ* **φθονεῖθ' ὅταν τις* **ἡμῶν μουσικῇ χαίρῃ νέων* Eup. 2, 546 (1, 8). *ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη* Men. 4, 252 (63). *θεούς* | *ὀστῶν ἀσάρκων καὶ χολῆς-* ‖ *χαίρειν* **ἀπαρχαῖς καὶ γέρας λαχεῖν τόδε* anon. 4, 613 (41, 5). *ταῖς εὐτελείαις οἱ θεοὶ χαίρουσι γάρ* Antiph. 3, 89 (2, 1). *χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις* Timocl. 3, 595 (v. 10). *ὄψῳ τίνι χαίρεις;* Antiph. 3, 36 (v. 5). *εἴ τις -* | - *Βυζαντίας-θυννίδος* | *ὀσμαῖσι χαίρει* (al. *εὐφροσύναις ὀσμαῖσι χαίρει* f. *εὐφραίνετ' ὀσμαῖς*) ib. 43 (1). *χαίρω λαγῴοις ἐπ' ἀμύλῳ καθημένοις* Telecl. 2, 370 (2). *τραγήμασιν* **χαίρω δὲ μᾶλλον* Alexid. (Antidot.) 3, 458 (v. 2). *τούτοισι χαίρω* ib. (v. 6). *προσκατέδει τοὺς δακτύλους* | *σαυτῷ* (Dobr. *αὐτῷ*) *γε χαίρων* Alexid. 3, 462 (1, 6). *θερμοτέροις χαίρεις ἀεί* | *τοῖς ὀψαρίοις, ἢ τὸ μέσον ἢ κατωτέρω;* ib. 464 (2, 1). *οὔτ' ἄγαν ὀπτοῖσιν οὔθ' ἑφθοῖς ἄγαν,* | *οὔθ' ἧττον οὔτε μᾶλλον οὔτε διὰ μέσου* | *ἠρτυμένοισι χαίρων* (f. *ἠρτυμένοις ἔχαιρεν*) *ὥστ' ἐπαινέσαι* anon. 4, 671 (292). *οὔτ' ἀλφίτοισι χαίρομεν* anon. 4, 606 (18). *μεγάλαισιν οἴ|νου χαίροντα λεπασταῖς* Philyll. 2, 858 (3). *ἔχει* | *σύκων κυλιστὸν στέφανον· ἀλλ' ἔχαιρε καί* | *ζῶν τοῖς τοιούτοις* Alexid. 3, 384 (3). *βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν* mon. 656. *πῶς οὖν οὐκ* **ἄν τις ὁμιλῶν χαίροι τοιᾷδε πόλει-* Eup. 2, 536 (3). *ὁ-Βρόμιος οὐ χαίρει συνών* | *ἀνδράσι πονηροῖς* Alexid. 3, 512 (16). *ὅταν* *(*δ'*) *ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος* Philippid. 4, 469 (3). *χαίρει τις αὐχμῶν ἢ ῥυπῶν, κονιορτὸς ἀναπέφηνεν* Anaxand. 3, 177 (2, 6). *ἂν δὲ μὴ χαίρῃ γελῶσα* Alexid. 3, 423 (1, 22). *εἴτε κάκκαβόν τινες* | *χαίρουσιν ὀνομάζοντες* (al. *χαίροντες ὀνομάζουσιν*) *εἴτε σίττυβον* Antiph. 3, 99 (1, 7). *χαίρει* (int. *ὁ χρόνος*) *μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα* Diph. 4, 414. *χαίρεις, οἶμαι, μεταπεττεύσας αὐτὸν* **διακλιμακίσας τε* Plat. 2, 656 (2). *πρῶτος-ἡμᾶς, ὦ Κλέων,* | *χαίρειν προσεῖπας πολλὰ λυπῶν τὴν πόλιν* *Eup. 2, 556 (21). *λυπουμένῳ δ' ὅταν τις ἀκολουθῶν λέγῃ* | *χαῖρ', ἐξ ἀνάγκης οὗτος οἰμώζειν λέγει* Philem. 4, 5. *εὔιε κισσοχαῖτ' ἄναξ χαῖρ',* **ἔφασκ' Ἐκφαντίδης* Cratin. 2, 194 (52a). v. Ecphant. 2, 13 (2). *Διόνυσε χαῖρε. μή τι πέντε καὶ δύο;* Eup. 2, 429 (4). *Οἰνόμαος οὗτος χαῖρε, πέντε καὶ δύο*-Nicoch. 2, 842. *χαίρετ' ἄνδρες συμπόται,* | *ὅσων ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι* Alexid. 3, 432 (3, 7). *ὦ* *(*χαῖρε*)

**χρυσόκλυστα καὶ χρυσοῦς ἐμῶν* Nicomach. 4, 588 (2). *ἄνθρωπε χαῖρε, *περὶ πόδ' εἰ τῷ δεσπότῃ* Athenion. 4, 558 (v. 39). *χαῖρε χρυσόκερω* (al. *χαῖρ' ὦ χρυσόκερως*) *βαβάκτα κήλων,* | *Πάν* Cratin. 2, 182 (22). *χαῖρε δὴ Μοῦσα, χρονία μὲν ἥκεις, ὅμως δ'* | *ἦλθες οὐ πρίν *γε δεῖν* ib. 144 (10). *χαῖρ' ὦ φίλη γῆ, διὰ χρόνου πολλοῦ σ' ἰδὼν* | *ἀσπάζομαι* Men. 4, 76 (8, 1). *ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,* | *χαῖρε λιπαρὸν δάπεδον* Aristophan. 2, 990 (13, 2). *χαῖρ' ὦ *Γλυκέριον. Γ. καὶ σύ. Α. πολλοστῷ χρόνῳ* | *ὁρῶ σε* Men. 4, 167 (9). **χαῖρ' ὦ διαπόντιον* | *στράτευμα, τί *πράττομεν;* Herm. 2, 402 (1, 1). *χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν ξύλλογε παντοσόφων* Plat. 2, 646 (1). *ὡς εἶδεν αὐτόν "χαῖρε πάππα φίλτατε"* | *εἶπας-* Philem. 4, 14 (2). *χαῖρε Νεοκλείδα δίδυμον γένος* Men. 4, 335 (1). *χαίρετε πάντες *ὅσοι πολύβωτον ποντίαν Σέριφον* Cratin. 2, 137 (6). *χαίρετε δαίμονες, οἳ Λεβάδειαν* ib. 142 (3). *προσαγήλωμεν ἀπελθόντας. Β. χαίρετε πάντες. Α. δεχόμεσθα* Eup. 2, 468 (19). Caeterum v. ad anon. 4, 694 (362). *λέγε, χαῖρε φέγγος ἡλίου* Aristophan. 2, 1019 (9). *παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα* Stratt. 2, 778 (1). *πολλὰ *(χαίρειν?) ταῖς κίχλαις ἤδη λέγει* Diph. 4, 406 (v. 6). *οὐκ ἂν ὑπομείναιμ' ἔτι* | *-ἑταιρεῖν. χαιρέτω* Phoenicid. 4, 511 (v. 2). *οὐ γάρ-* | *χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ* Eup. 2, 457 (2). *ἀεὶ σὺ χαίρεις* (? an *παίζεις?*) *ὦ γύναι μ' αἰνίγμασιν* Alexid. 3, 493 (1, 6).

χαλαζᾶν: *δραχμὴ χαλαζῶσα* anon. 4, 635 (123).

χαλαίρυπος: Cratin. 2, 212 (117).

χαλαρός: *λαβὼν ἀνῆκέ με* (Melanippides Musicam) | *χαλαρωτέραν τ' ἐποίησε χορδαῖς δώδεκα* Pher. 2, 326 (1, 5).

χαλεπός: *χαλεπή-καὶ προσάντης-* | *ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε* | *παρ' ἀνδρός* Anaxand. 3, 197 (5). *χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος* mon. 745. *χαλεπὸν *τύχη 'στὶ πρᾶγμα, χαλεπόν* Apollod. 4, 456 (5). *χρηστὸς τρόπος* | *εἰς χαλεπὸν ὅταν ᾖ συγκεκλεισμένος βίον* Men. 4, 263 (124). *εἰν ἀγορῇ μέν* | *νείκεα καὶ χαλεπαὶ πρήξιες* Plat. (?) 2, 697 (v. 2). **νόσων χαλεπώτατος* | *φθόνος* Men. 4, 231 (6, 9). *ξενία χαλεπή* (f. *γέ τοι χαλεπή 'στι*) *κατὰ πολλοὺς τρόπους* mon. 395. *εἰκῇ λαβεῖν,* | *ἀγνώμον', ὀργίλην, χαλεπήν* Men. 4, 228 (3, 12). *ἔχομεν* (Lamiam) *-ὡς* (al. *τῶν*) *χαλεπῶν χαλεπώτατον* (f. *τῶν χαλεπῶν χαλεπωτάτην*) ib. 191 (2, 4). *χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον* ib. 76 (6) = mon. 750. *χαλεπόν *(γ') ἀκροατὴς ἀσύνετος καθήμενος* Philem. 4, 46 (34^b). *χαλεπόν γε τοιαῦτ' ἐστιν ἐξαμαρτάνειν,* | *ἃ καὶ λέγειν ὀκνοῦμεν οἱ πεπραχότες* Men. 4, 254 (75). *χαλεπὸν* (f. *χαλεπόν γ'*) *ὅταν τις ὢν *πίῃ πλέον λαλῇ* ib. 256 (83). *ἦ πού *(τι) χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν* ib. 292 (271). *χαλεπὸν-* | *ἐλευθέρᾳ γυναικὶ πρὸς πόρνην μάχη* ib. 245 (36). **ἔστιν δ' αὐτοὺς *(γε) φυλάττεσθαι τῶν νῦν χαλεπώτατον ἔργον* Phryn. 2, 580 (1, 1). *οἷς χαλεπώτερον* | *τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον* Men. 4, 272 (172) = Diph. 4, 422 (20). *χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον* Philem. 4, 10 (2). *οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ* | *εἰπεῖν τιν' ἐσθίοντα "μὴ κακῶς ἔχε"* Philippid. 4, 471 (v. 1). ***χαλεπῶς*** *ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις* Plat. 2, 649 (3, 1).

χαλέπτω: *σύγγνωθί μοι καὶ μὴ *χαλεφθῇς* (editur *χαλεφῇς*) anon. 4, 615 (47).

χαλινός: *ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς* mon. 549.

χαλκεύς: *βασκάνιον ἐπὶ κάμινον* (Bk. *ἐπικάμινον*) *ἀνδρὸς χαλκέως* Aristophan. 2, 1185 (39). *χαλκεὺς οἷά τις* | *γέμων καπνοῦ *(τε) καὶ*

μαρίλης anon. 4, 697 (369). χαλκεὺς ferro validior, pene inferior Diph. 4, 399 (2).
χαλκεύω: κεχαλκεῦσθαι τοίνυν (f. τανῦν ἐφ' 5, 52) ἑσπέρας Calliae 2, 738 (8).
Χαλκιδεύς: Μυνίσκος -ὁ Χαλκιδεύς Plat. 2, 668 (3). τὰς ταινίας οἱ Χαλκιδεῖς | καὶ τοὺς ἀλαβάστους συμβολὰς καλοῦσι Alexid. 3, 449 (4).
χαλκίδια Herm. 2, 412 (5).
χαλκιδίζειν anon. 4, 648 (180).
Χαλκιδική: ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡμῖν ἡ γυνή Polyz. 2, 870 (3).
χαλκιδῖτις anon. 4, 631 (106).
χαλκίζειν Alexid. 3, 526 (77).
χαλκίον: χαλκία (i. e. aenea vasa) Herm. 2, 412 (5). χαλκίον μακρόν (i. q. ἐλαιηρὰ ἐπίχυσις) Eup. 2, 497 (24). οὐκ ἀλλὰ *τοῦτό γ' ἐπίχυσις τοῦ χαλκίου Aristophan. 2, 1028 (7). τὸ *χαλκίον | θέρμαινέ θ' ἡμῖν καὶ θύη *πέττειν τινά | κέλευ' Eup. 2, 470 (22). τὸ χαλκίον θερμαίνεται Aristophan. 2, 1086 (18). ὅστις πύελον ἥκεις ἔχων καὶ *χαλκίον Eup. 2, 529 (8). πάλαι *δή | ἡμᾶς *ἔδει τῷ *χαλκίῳ λελουμένους σχολάζειν Aristophan. 2, 990 (15) cf. 5, 60. ἔγνωκ' ἐγὼ δὲ χαλκίον †τοῦτ' ἐστὶ κοττάβειον ἱστάναι καὶ μυρρίνας Aristophan. 2, 1038 (18). τὸ Δωδωναῖον-χαλκίον Men. 4, 89 (3, 3). παραλαβὼν *τῷ χαλκίῳ | τὸν ἰὸν ἐκ τῆς χειρὸς ἐξεσπόγγισεν Eubul. 3, 245 (4).
χαλκίς: χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ *κύβηλιν Cratin. 2, 198 (62).
Χαλκίς: χρηστῶν σφόδρ' ἔσθ' ἡ Χαλκὶς Ἑλλήνων πόλις Philisci 3, 580 (3).
χαλκός: οὐ πῦρ, *οὐδὲ σίδηρος, | οὐδὲ χαλκὸς *ἀπείργει | μὴ φοιτᾶν ἐπὶ δεῖπνον Eup. 2, 487 (3). ἔρωτα παύει λιμὸς ἢ χαλκοῦ σπάνις mon. 156.
χαλκοτύπος: τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι χρεία,| ἢ δρεπανουργῶν ἢ χαλκοτύπων-; Pher. 2, 315 (1, 2). Κόρυδον τὸν χαλκοτύπον (al. χαλκότυπον) πεφύλαξο Cratin. min. 3, 377 (v. 1).
χαλκοῦς: cf. εὔχαλκος. 1. χαλκοῦς ποδανιπτὴρ *(ἢ) λέβης Diocl. 2, 838 (1). τοὺς δὲ λέβητας χαλκοῦς εἶναι Anaxand. 3, 183 (1, 10). χαλκοῦν μέγα | ὀλκεῖον Men. 4, 91 (9). κύαθον | χαλκοῦν κλέψας Stratt. 2, 785 (3). χαλκῷ περὶ κοττάβῳ Eup. 2, 454 (20). δακτύλιον χαλκοῦν φέρων ἀπείρονα Aristophan. 2, 1049 (7). χαλκῆν Καλλιμέδοντος εἰκόνα | στῆσαι Alexid. 3, 407 (1, 2). ὁ βοῦς *(ὁ) χαλκοῦς ἦν *ἂν ἑφθὸς δεκάπαλαι Henioch. 3, 560. de Plat. 2, 688 (24) cf. 5, 50. †Πανὶ κακὸν δεῦρο μαστάω τινά (Ven. Cob. μαστεύων. τίνα) | ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον προσῆν. (Ven. πρὸς ἦν) | οὐδαμῶς ξύλινος ἐκεῖνος ** | ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερα (Ven. πότερον) Δαιδάλειος ἦν; Cratin. 2, 62 (2). ὥστε μηδ' ἂν εἰ *χαλκοῦς ἔχων| μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν πάλιν | εἰκῇ Antiph. 3, 125 (1, 5). ἔχει-χεῖρα κραταιάν, | χαλκῆν, ἀκάματον, πολὺ κρείττω τοῦ πυρὸς αὐτοῦ Cratin. min. 3, 377 (v. 5). 2. παρ' ἐμοῦ δ' - | χαλκοῦ μέρος δωδέκατον οὐκ ἂν ἀπολάβοις Alexid. 3, 389 (1, 2). ἔστ' ὠμοτάριχος πέντε χαλκῶν ib. (1, 4). μῦς ἑπτὰ χαλκῶν ib. (1, 5). κάππαριν χαλκῶν τριῶν ἐν τρυβλίῳ | ἄγοντι πεντήκοντα δραχμὰς ἀργυρῷ Philippid. 4, 469 (v. 6). τέτταρας | χαλκοῦς ἔχων ἄνθρωπος Timocl. 3, 598 (v. 6). ὀβολοῦ τὸ πρῶτον ἡμῖν *ἐνέχεεν | καὶ τεττάρων χαλκῶν μετὰ ταῦτα Β. - | - χαλκοῦ θερμὸν ἦν Philem. 4, 19 (2). χαλκοῦς ὀφείλεις πέντε μοι. μέμνησ'; Β. ἐγώ | σοὶ πέντε χαλκοῦς, σὺ δέ *(γ') *ἐμοὶ τριτήμορον. | τοὺς ἐξ ἀποδοὺς τοὺς πέντε χαλκοῦς ἀπόλαβε ib. 24 (2).

χαλκώματα: χαλκώματα, προσκεφάλαια Aristophan. 2, 1128 (7). πρὸς Ἀερόπην ἐλθοῦσα πέμψαι *στρώματα | αὐτὴν κέλευε-καὶ παρ' Ὤκιμον | χαλκώματα Nicostr. 3, 285 (1) v. annot.

Χαλυβδικός: Χαλυβδικὸν (al. Χαλυβικὸν) στόμωμα Cratin. 2, 158 (14).

χαλῶ: τοὺς *κάλως ἔκλυε καὶ χάλα πόδα Epicrat. 3, 372 (2, 5).

χαμᾶθεν: ἀλαζονεύεται μὲν- | περὶ τῶν μετεώρων, τὰ δὲ *χαμᾶθεν (vulg. χθαμᾶθεν) ἐσθίει Eup. 2, 490 (10). cf. Aristophan. 2, 1190 (61) et 5, 37.

χαμαί: εἶθ' ὥσπερ οἱ πτωχοὶ χαμαί | ἐνθάδ' ἔδομαι ** καί τις ὄψεται; Antiph. 3, 146 (31). ἐπὶ τοῦ κορήματος καθέζομαι χαμαί Aristophan. 2, 1145 (15). ἀπασκαρίζειν ὡσπερεὶ πέρκην χαμαί ib. 1154 (18). *διαπυτιοῦσ' οἶνον-τοιοῦτον χαμαί Arched. 4, 437 (2, 12).

χαμαιευνάδες: οὗτοι ἀνιπτόποδες χαμαιευνάδες ἀερίοικοι Eubul. 3, 269 (16).

χαμαιτύπη: *ὅσον τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετά | χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι, βαβαί Timocl. 3, 607 (v. 2). ἀλλὰ καὶ χαμαιτύπη | κρίζει τις Men. 4, 295 (294) v. fragm. 835 ed. min. Cf. anon. 4, 631 (106).

χαμόθεν ἄκρας τῆς κόμης | καθεῖλκεν (int. τὴν πίτυν) Cratin. 2, 217 (138) cf. add.

χάνος (i. e. στόμα) anon. 4, 681 (315).

Χάονες: καὶ Χαόνων καὶ Παιόνων καὶ Μαρδόνων Eup. 2, 519 (32).

χαρά: πάντες ὑμεῖς μετὰ χαρᾶς κτυπήσατε anon. 4, 694 (362).

χαράδρα: ἄγνου-ἐν χαράδρᾳ πεφυκότος Chionid. 2, 6 (2). ἐν τῇ χαράδρᾳ τρώγοντες *ἅλιμα καὶ κακά | τοιαῦτα Antiph. 3, 87. οἰνοφ- ἅπασ' ἔρρει χαράδρα Telecl. 2, 361 (1, 4). *ἐὰν δέ *(γ') ἀποκριθᾶ, | οἴμοι τάλας, *φησίν, χαράδρα κατελήλυθεν Pher. 2, 275 (4).

χαρακισμός: δρεπανουργῶν ἢ χαλκοτύπων ἢ σπέρματος ἢ χαρακισμοῦ Pher. 2, 315 (1, 2).

χαρακτήρ: ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται Men. 4, 91 (8) = 111 (4) = mon. 26.

χαρακῶ: μᾶζα κεχαρακωμένη | ἀχύροις Antiph. 3, 133 (1, 1).

χάραξ: πολλοὶ-ἐκλελοιπότες | τὸν χάρακα τὰς κώμας ἐπόρθουν Men. 4, 91 (2). *εἶτ' ἐν χάρακι μὲν ταῦτα καὶ παρεμβολῇ Theophil. 3, 630 (2). cf. Diph. 4, 429 (51). de Timostrato v. 1, 500.

Χάρης: Χάρη Theop. 2, 821 (22). ἕνα (Adaeum) κατακόψας μάλα συχνοὺς ἐδείπνισεν | Χάρης Ἀθηναίων τόθ' Heraclid. 3, 565 (v. 5). de Charete et Aristophonte anon. 4, 688 (337).

Χαριάδης: ὦ Χαριάδη *Eubul. 3, 209 (3). *θρῖον τὸ λευκὸν οὐξ Ἀθηνῶν Χαριάδης Euphr. 4, 486 (v. 7). *Βοιδίων καὶ Χαριάδης | ἐγώ τε Sosip. 4, 482 (v. 11).

Χαρίδης v. Ἐπιχαρίδης.

χαρίεις: ἱματίω δέ μοι δύ' ἐστὸν χαρίεντε *τούτω Eup. 2, 484 (1, 5). οὐ δεῖ χαρίεντα πολλά | τὸν κόλακ' εὐθέως λέγειν ib. 485 (1, 12). τοῦ δ' ἐν ἅλμῃ παρεόντος οὐ *γεύει χαρίεντος ὄψου Axionici 3, 532 (1, 16). νάρκη-*ἑφθὴ βρῶμα *χάριεν (vulg. χαρίεν) γίγνεται Plat. (Canth.) 2, 667 (7). κραμβίδιον ἑφθὸν χάριεν ἀστεῖον πάνυ Antiph. 3, 5 (6). ὀρνιθάριά τε τῶν ἀγρίων τούτων συχνά· | *χάριεν (libr. χαίρειν) γάρ Nicostr. (Philetaer.) 3, 280 (3, 6). τὸ πρᾶγμα χάριεν, *οὗ Χίου δύο | κυάθους ἀνεβόησέν τις ὑπόχει Sophil. 3, 581 (v. 2). *χάριεν (vulg. χαρίεν) οἷς γιγνώσκεται | τὸ πρᾶγμα τοῦ Παύσωνος Henioch. 3, 562 (v. 8). ὡς χαρίεν ἐστ' ἄνθρωπος ὅταν (f. ὃς ἂν) ἄνθρωπος ᾖ mon. 562. εὔχρως †τε φᾶναι (f. πεφάνθαι) καὶ χαρίεις ὥσπερ νεκρός

Theop. 2, 800 (1, 2) cf. 5, 54. ξένος γε χαρίεις ἦν ἐκεῖ μέγας καὶ λαμπρός (?) Demetr. 2, 876 (1, 4). παρασίτους ἑλόμενοι | τρέφειν παρεκάλουν, οὐχὶ τοὺς χαριεστάτους | ἐκλεγόμενοι τοὺς δὲ κολακεύειν δυναμένους | καὶ πάντ' ἐπαινεῖν Diod. 3, 544 (v. 33). σὺ δὲ τόνδε φορήσεις | στέφανον πολυποίκιλον ἀνθέων, | γρυπότατον (?), χαριέστατον, ὦ Ζεῦ Eubul. 3, 252 (3). χαριέντως: ἔστι γὰρ προοίμιον | δείπνου χαριέντως ταῦτα πεπρυτανευμένου Alexid. 3, 429 (1, 4).

χαριεντίζομαι: *χαριεντίζει (libr. χαριεντίζῃ vel χαριεντίζεις) καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει Aristophan. 2, 1010 (14).

χαρίζομαι: σφόδρα μοι *κεχάρισαι - | ταυτὶ προείπας Dionys. 3, 547 (v. 1). ὥς μοι κέχρησαι (f. κεχάρισαι) Damox. 4, 531 (v. 40). ἐφ' ᾧ | χαριεῖ πολὺ μᾶλλον ἢ μυρίνην προσεγχέας Diph. 4, 381 (1, 10). χάριν χαρίζου καθ' ὅσον ἰσχύειν δοκεῖς mon. 635. cf. 747. θυμῷ χαρίζου μηδέν mon. 245. φίλοισι χαριζόμενον πονηρὸν αὐτὸν εἶναι Cratin. 2, 173 (3). παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται | τοῖς ἡλικιώταις Theop. 2, 803 (2).

*Χαρικλέης (vulg. Χαρικλῆς) -ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ | ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ *βαλλαντίου Telecl. 2, 371 (1, 1).

Χαρῖνος: Στίλπωνός ἐστι βύσμαθ' ὁ Χαρίνου λόγος *Diph. 4, 386 (2).

Χαριξένη: *οἷα τἀπὶ Χαριξένης Cratin. 2, 98 (9). Theop. 2, 811 (2).

χάρις: καὶ τοῖς μὲν ἀγενείοις ἴσως ἔπεστί τις | χάρις Alexid. 3, 485 (4, 7). πέρας *τι κάλλους -. οὔτ' ἀκήκοα | ἔμπροσθεν οὔθ' *ἑόρακα τοιαύτην χάριν Damox. 4, 536 (v. 10). ἐν δ' εὐπροσηγόροισίν ἐστί τις χάρις mon. 663. τὸ δέ | ληφθὲν καθ' ὥραν ἀποδίδωσι τὴν χάριν Damox. 4, 531 (v. 24). ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα mon. 7. πάντα μὲν λήψει σχεδόν | ἀεὶ γάρ, οὐκ ἀεὶ δὲ τὴν τούτων *χάριν (libr. ἀρχήν) | *ἕξεις ὁμοίαν, οὐδ' ἴσην τὴν ἡδονήν Dionys. 3, 548 (v. 22). ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν Cratin. 2, 222 (143). χάριν λαβὼν μέμνησο καὶ δοὺς ἐπιλάθου mon. 749. χάριν λαβὼν εὔκαιρον ἐν καιρῷ δίδου mon. 746. χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε mon. 748. νικᾷ παλαιὰς χάριτας ἡ νέα χάρις mon. 386. καλὸν τὸ (an καλόν τι?) θησαύρισμα κειμένη χάρις mon. 295. οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν Anaxand. 3, 200 (15). οὐκ ἐν γυναικὶ φύεται *πιστὴ χάρις Men. 4, 241 (27^b). παιδευθεὶς -εὖ | τὸν καρπὸν εὐθὺς ἀπεδίδου χάριτος καλόν ib. 176 (1, 4). ἕξεις μοι χάριν Eubul. 3, 218 (3). ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις (= mon. 645), | ἣν δεόμενος τότ' ἀθάνατον ἕξειν ἔφη Men. 4, 325 (472). †τέθνηκεν ἀνθρώποισιν ἅπασα χάρις mon. 498. μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις mon. 347. λόγος εὐχάριστος χάριτός *ἐστ' ἀνταπόδοσις mon. 330. ὁ -*(θεὸς) δεδωκὼς τἀγαθά | *ὧν μὲν *πεπόρικεν οἴεται χάριν τινά | ἔχειν ἑαυτῷ Alexid. 3, 507 (8, 4). πονηρὸς ὤν τε χρηστὸς εἶναί φησί τις, | ἐγκωμιάζων τοῦτον ἀπέλαβον χάριν Axionici 3, 534 (1, 13). εἰ μνημονεύεις εὖ παθὼν φιλεῖς τέ με, | ἀπέχω πάλαι (al. πάλιν) -*παρὰ σοῦ τὴν χάριν· | τούτου γὰρ αὐτὴν *ἕνεκα πρὸς σὲ κατεθέμην anon. 4, 679 (311). καί τοι *(τί) λογίζομ' -προσδοκῶν | χάριν παρὰ γυναικὸς κομιεῖσθαι; Men. 4, 241 (27^a). χάριν χαρίζου καθ' ὅσον ἰσχύειν δοκεῖς mon. 635. cf. 747. υἱῷ -ἀγαπητῷ τι πράττων πρὸς χάριν Antiph. 3, 152 (59). πρὸς χάριν ὁμιλεῖ τοῦ τρέφοντος ἐπ' ὀλέθρῳ Nicol. 4, 580 (v. 36). αἱ κρίσεις θ' ἡμῶν νοσοῦσι, καὶ τὸ πρὸς χάριν πολύ Diph. 4, 385 (1, 5). ἐὰν δέ τις μέτρια λέγουσα ** | τοῖς δεομένοις τινῶν ὑπουργῇ πρὸς χάριν - Anaxil. 3, 350 (2, 2). καὶ μὴ λαθραίαν κύπριν, αἰσχίστην *νόσων | πασῶν, διώκειν, ὕβρεος οὐ πόθου χάριν Eubul. (Philipp.) 3, 238 (v. 9). τὸ καλούμενον ζῆν τοῦτο

διατριβῆς χάριν | ὄνομ' ἐστὶν Alexid. 3, 484 (3, 4). σχεδὸν | ἀπεκραιπάλα τὰ πλεῖστα τοῦ γελάσαι χάριν Theognet. 4, 550 (v. 3). ἔστι- | τὰ πολλὰ τοῖς *πολλοῖσι τοῦ δείπνου χάριν anon. 4, 610 (34). ὅσοισι τοῦ κέρδους χάριν | ἐπίπροσθε ταἰσχρὰ φαίνετ' εἶναι τῶν καλῶν Antiph. 3, 148 (41). γυνὴ δὲ κολακεύει σε τοῦ λαβεῖν χάριν mon. 600. ἂν *δῇ δὲ φείσασθαί τι τοῦ γήρως χάριν- Men. 4, 242 (28, 3). *οὐδὲν ἡδέως | ποιεῖ-οὗτος, ἀλλ' ὅσον νόμου χάριν Diph. 4, 395 (2, 14). πολλοὶ-*(εὖ) λέγουσιν ἀδικίας χάριν Philem. 4, 48 (40c). ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου ib. 53 (52b). cf. mon. 418. Cf. Χάρις.

Χάρις: τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις, | σπείρειν τε καρπὸν Χάριτος ἡδίστης θεῶν Antiph. 3, 134 (4, 4). ὃς χαρίτων *μὲν ὄζει, | καλλαβίδας δὲ βαίνει Eup. 2, 494 (17, 1). ὦ Χάριτες αἷσι μέλουσιν ἑψητοί Eup. 2, 430 (8). μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας Aristophan. 2, 1086 (16, 2).

χαρίσιος: *πέψω πλακοῦντ' ἐς ἑσπέραν χαρίσιον Aristophan. 2, 1027 (2). πέττουσα τὸν χαρίσιον Eubul. 3, 203 (2).

χαριτοβλέφαρος: μᾶζα χαριτοβλέφαρος Eubul. 3, 258 (2, 4).

χάρμα: αἴρω ποθεινὴν μᾶζαν, ἣν- | *Δηὼ βροτοῖσι χάρμα δωρεῖται φίλον Antiph. 3, 3 (1, 3).

χάρται: τὰ γραμματεῖα τούς τε χάρτας ἐκφέρων Plat. 2, 684 (10).

Χάρυβδις: *τίς γὰρ ἢ δράκαιν' ἄμικτος, ἢ Χίμαιρα πύρπνοος, | ἢ Χάρυβδις ἢ-Σκύλλα- || εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους; Anaxil. 3, 347 (1, 4).

Χάρων: τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους | ἄκοντας ὁ Χάρων ἐπὶ *τὸ πορθμεῖόν τ' ἄγει Antiph. 3, 47 (2, 4). πλὴν Ξενίου νόμοισι καὶ Σχοινίωνος, ὦ Χάρον *Cratin. 2, 194 (52c).

Χαρώνδας: τὸν νομοθέτην-Χαρώνδαν anon. 4, 618 (50, 1).

χάσκω: γέρανος-*τουδί | τοῦ χάσκοντος διατειναμένη | διὰ τοῦ πρωκτοῦ καὶ τῶν πλευρῶν | διακόψειεν τὸ μέτωπον Anaxand. 3, 185 (1, 66). μέμνησ' ἃ λέγω, πρόσεχ' οἷς φράζω. | χάσκεις αὐτός; Mnesim. 3, 569 (v. 22). ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνός Eubul. 3, 255 (1, 23). χῆνα πλατυγίζοντα καὶ κεχηνότα Eubul. 3, 260 (v. 3). λύκος ἔχανεν Aristophan. 2, 1087 (20). ἔπειγ' ἔπειγε, μή ποθ' ὡς λύκος χανὼν | καὶ τῶνδ' ἁμαρτὼν ὕστερον συχνὸν δράμῃς Eubul. 3, 212 (v. 11). τοῦ γὰρ μὴ χανεῖν | λύκον διακενῆς σὺ μόνος εὕρηκας τέχνην Euphron. 4, 487 (v. 30). Cf. χαυνῶ.

χάσμα: οἰκεῖ τις, ὡς ἔοικεν, ἐν τῷ χάσματι | λιβανωτοπώλης Cratin. min. 3, 374 (1, 3).

χασμῶμαι: τῆς θύρας χασμωμένης | ἂν ἐπιλάβηται, πρῶτος εἰσελήλυθεν Alexid. 3, 501 (v. 7).

χαυνῶ: ἐφίλησεν οὐχὶ συμπιέσασα τὸ στόμα | ὥσπερ πολέμιον, ἀλλὰ τοῖσι στρουθίοις | χαυνοῦσ' (? an χανοῦσ' ? ed. min.) ὁμοίως Ephipp. 3, 326 (1, 5).

χεζητιῶ: ὡς χεζητιῶν | μακρὰν βαδίζων, πολλὰ δ' ἐσθίων (?) ἀνήρ, | δάκνων τὰ χείλη, παγγέλοιός ἐστ' ἰδεῖν Eubul. 3, 230 (2, 4).

χέζω: εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται Stratt. 2, 783 (1, 1). ἐμοὶ γὰρ οὐκ ἔστ' οὐδὲ *λάσαν' ὅπου χέσω Eup. 2, 519 (31). σησαμίδας δὲ χέζει, | μῆλα δὲ χρέμπτεται Eup. 2, 494 (17, 3).

χεῖλη: διότι *δ' ἔστ' ἀμφίστομος, | κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσιν δάκνει (int. ἰχνεύμων) Eubul. 3, 254 (1, 16). χεζητιῶν | μακρὰν βαδίζων,- | δάκνων τὰ χείλη Eubul. 3, 230 (2, 6). οἴνου γεραιοῖς χείλεσιν μέγα σκύφος Alexid. 3, 442 (2). οὔτε στόματα γὰρ οὔτε

χείλη πέντ' ἔχω Lync. 4, 433 (v. 13). *ξυλήφιον | μυρρίνης ἔχουσα λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν* Alexid. 3, 423 (1, 25). *πρὸς δέ γ' αὐτοῦ* (Periclis) *τῷ τάχει | πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν* Eup. 2, 458 (6, 5). *περὶ τὰ χείλη τῆς νεώς* Eup. 2, 559 (32).

χειμάζω: *χοὶ μὲν πλέοντες ἐνίοθ' ἡμέραν μίαν | ἢ νύκτα χειμασθέντες εἶτ' ἐκ τοῦ κακοῦ | σωτηρίας ἐπέτυχον* Philem. 4, 10 (1, 6). *ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν· οὐκ εἰς ἡμέραν | χειμάζομαι μίαν γάρ, εἰς τὸ ζῆν δ' ὅλον* ib. (1, 10). *ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ | χειμαζόμενος ζῇ* Men. 4, 192 (4, 7). *χειμάζειν* (i. e. *ἐνοχλεῖν*) Men. 4, 128 (6).

χειμάρρους: *παρὰ ῥείθροισι χειμάρροις* Antiph. 3, 138 (10, 3).

χείμαστρον: Aristophan. 2, 1223 (282).

χειμέρια βροντᾷ μάλ' εὖ (an *αὖ*? 5, 59) Aristophan. 2, 963 (13).

χειμών: *τίν' ἔχει διαφορὰν- | γλαυκίσκος ἐν χειμῶνι καὶ θέρει* Damox. 4, 530 (v. 18). *κέρδαιν' ἑταῖρε καὶ θέρους καὶ χειμῶνος* anon. (?) 4, 689 (340). *ὄψει δὲ χειμῶνος μέσου σικυούς, βότρυς, ὀπώραν* Aristophan. 2, 1171 (1, 1). *ἀφύης ἐπιθυμήσαντι χειμῶνος μέσου* Euphron. 4, 494 (1, 4). *φῷδας τοσαύτας εἶχε τὸν *χειμῶν' ὅλον* Aristophan. 2, 1092 (1, 2). *χειμῶνος ὄντος τρεῖς σισύρας ἀφείλετο* anon. 4, 654 (206). *καὶ τοῦ θέρους μὲν εἶχεν ἱμάτιον δασύ, | -τοῦ δὲ χειμῶνος ῥάκος* Philem. 4, 53 (53). *ὑπαίθριος χειμῶνα διάγειν κόψιχος* Aristophont. 3, 361 (1, 5). *σαφὴς ὁ χειμών ἐστι τῆς πενίας *λύχνος* Aristophont. 3, 356 cf. add. *χειμὼν μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν* mon. 751. *οὐ τοῖς πλέουσι τὴν θάλατταν γίγνεται | μόνοισι χειμών,-ἀλλὰ καί | τοῖς περιπατοῦσί που-ἐν τῇ στοᾷ* Philem. 4, 10 (1, 2). *μὴ θεομάχει, μηδὲ προσάγου τῷ πράγματι | χειμῶνας ἑτέρους, τοὺς δ' ἀναγκαίους φέρε* Men. 4, 123 (2). **νυνὶ δὲ πρὸς τοῖς πνεύμασιν | τούτοις Φάυλλος προσγέγονε χειμὼν τρίτος* Alexid. 3, 403 (1, 4). *χειμὼν ὁ μειρακίσκος ἐστὶ τοῖς φίλοις* ib. 467 (1, 7). *χειμὼν κατ' οἴκους ἀνδράσιν κακὴ γυνή* mon. 540.

χείρ: *ὅτι χωλός ἐστι τὴν ἑτέραν χεῖρ'* Eup. 2, 567 (61). *ἀγκυλοῦντα δεῖ σφόδρα | τὴν χεῖρα *πέμπειν εὐρύθμως τὸν κότταβον* Plat. 2, 631 (2) cf. 5, 44. *οὐχ ὁρᾷς ὀρχούμενον | ταῖς χερσὶ τὸν βάκηλον;* Antiph. 3, 59. *κοῦφα πηδῶσαι κόμαν* (?), | *κἀνακρούουσαι χεροῖν* (?) Autocr. 2, 891 (v. 4). *τῇ μὲν δίδωμι χειρὶ τῇ δὲ λαμβάνω* anon. 4, 687 (334). *καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθὼν | ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν* Euphr. 4, 487 (v. 24). *χεὶρ χεῖρα νίπτει, δάκτυλοι δὲ δακτύλους* mon. 543. *κατὰ χειρὸς ὕδωρ* Eup. 2, 545 (26). Amips. 2, 709 (4). Alcaei 2, 829 (3). *εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρός* (Phot. *χειρῶν*) Telecl. 2, 361 (1, 2). *πάντα μοι | κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ* Pher. 2, 338 (7, 5). *κατὰ χειρὸς ἐδόθη· τὴν τράπεζαν ἧκ' ἔχων-* Alexid. 3, 502 (1, 2). *πρῶτον ὠμῶν κειμένων | τῶν ἰχθύων πάρεισιν οἱ κεκλημένοι· | "δίδου κατὰ χειρός"* Arched. 4, 435 (1, 3). *καταλαμβάνομεν- | -κατὰ χειρὸς ἀρτίως εἰληφότας | καὶ στέφανον* Nicostr. 3, 287. *φέρε παῖ ταχέως κατὰ χειρὸς ὕδωρ* Aristophan. 2, 1154 (16). *τὸ γοῦν κατὰ χειρὸς περιγράφει πᾶς, ὅτι μετά | *(τὸ) δεῖπνον αὐτῷ τοῦτο γίγνεται λαβεῖν* Demonici 4, 570 (v. 3). *λάβ' ὕδωρ κατὰ χειρός.- | -*(ἡ) παῖς ἐπιτίθει | ἐπὶ τὴν τράπεζαν κάρυα καὶ τραγήματα* Clearch. 4, 563. *ἐπεὶ δ' ὁ τρίπους ἤρθη, κατὰ χειρῶν τ' εἴχομεν* (Eust. *χειρῶν ἐχέομεν*) Antiph. 3, 147 (36). *ἔπειτα κατὰ χειρῶν ἑκάστῃ καὶ μύρον τι δοῦναι* Philyll. 2, 857 (1). *οἱ δὲ κατὰ χειρῶν λαβόντες περιμένουσι φίλτατοι* Men. 4, 208 (4). *τηρῶν πότ' ἐπὶ τὰς χεῖρας οἴσει τις* Posidipp. 4, 523 (1, 10). *κἀπονίψει κατὰ τρόπον | τὰς χεῖρας, εὐώδη λαβὼν τὴν*

γῆν Antiph. (Epigen.) 3, 21. *κοσμίως ποιῶν τὴν ἔνθεσιν | μικρὰν μὲν ἐκ τοῦ *πρόσθε, μεστὴν δ' ἔνδοθεν | τὴν χεῖρα* Antiph. 3, 48. *εὐτραπέζων Θετταλῶν ξένων τροφαί, | ὧν οὐκ ἄμοιρος ἥδε χεὶρ ἐγίγνετο* Eriphi 3, 559. *μηδ' ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ | τοῦ Κορύδου· -ἔχει γὰρ χεῖρα κραταιάν, | χαλκῆν, ἀκάματον, πολὺ κρείττω τοῦ πυρὸς αὐτοῦ* Cratin. min. 3, 377 (v. 4). *ὅταν- ‖ ἀσύμβολον -χεῖρα προσβάλῃ βορᾷ* Ephipp. 3, 338 (v. 3). *ἐπεβάλομεν τὰς χεῖρας* Alexid. 3, 503 (1, 11). *ὡς εἶδεν ἐν πλήθει *νέων | μεστὴν ζέουσαν λοπάδα Νηρείων τέκνων, | ἐπίσχετ' ὀργῇ χεῖρας ἠρεθισμένας* Euphron. 4, 492 (v. 3). *ἀλλὰ κίθαρος οὑτοσί, | ὃν ἂν ἴδῃ τὰς χεῖρας οὐκ ἀφέξεται* Antiph. 3, 13 (1, 16). *ἰχθῦς τ' ὀπτᾶν τούς τε ταρίχους, ἡμῶν δ' ἄπο χεῖρας ἔχεσθαι* Cratet. 2, 239 (3, 2). *τὴν χεῖρα μὴ 'πίβαλλε, μὴ κλάων κάθῃ* Cratin. 2, 231 (176). *οὐκ ἐς κόρακας τὼ χεῖρ' ἀποίσεις ἐκποδὼν | ἀπὸ τοῦ σκυταλίου *(τοῦδε? 5, 56) καὶ τῆς διφθέρας;* Nicoph. 2, 848 (2). *ὀπίσω τὼ χεῖρε ποιήσαντα δεῖ | ἕλκειν ἀπνευστί* Antiph. 3, 41 (2, 13). *μάστιγα δ' ἐν *χεροῖν* (cod. *χερσὶν*) *ἔχων *τευτάζεται* (an *ἐτεύτασεν?*) Phryn. 2, 594 (1). *τὸν ὄρθρον ἐν ταῖς χερσὶν ὄψει βιβλία | ἔχοντα* Anaxipp. 4, 460 (v. 24). **κάεται λύχνος, | καὶ *βιβλί' ἐν ταῖς χερσί, καὶ φροντίζομεν-* Baton. 4, 501 (v. 3). *ἔχων μὲν ἐν τῇ χειρὶ μῶλυ* anon. 4, 624 (76^b). *παρὰ* (an *μετὰ?*) *χερσὶ δὲ μῆλον *(ἕκαστος) ἔχων σκίπωνά τ' ἠγόραζον* Cratin. 2, 146 (2). *λάμβανε χερσίν | σχῖνον μεγάλην* Cratin. 2, 151 (7). *ἰχθύδια | -βεβασανισμένα | ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ* Aristophan. 2, 1108 (1, 10). *εὐπρόσωπος ἦσθ' ὀνόματος οὐδὲν ἐπὶ χεῖρας φέρων* Cratin. 2, 185 (29). *τῇ χειρὶ *νῆσαι μαλθακωτάτην κρόκην* Eup. 2, 556 (19). *μύρτων πινακίσκος χειρὶ παρατετιλμένων* Plat. 2, 674 (2, 14). *τῇ χειρὶ τρίβων τὴν ἀναγκαίαν τύχην* (an *φύσιν?*) Amphid. 3, 308 (1, 6). *μαλακαῖς καλαῖς τε χερσὶ τριφθῆναι πόδας* Antiph. 3, 54 (v. 4). *πληγὰς λαβεῖν ἁπαλαῖσι χερσίν* Timocl. 3, 607 (v. 6). *λαβοῦ λαβοῦ τῆς χειρὸς ὡς τάχιστά μου· | μέλλω στρατηγὸν χειροτονεῖν Ἀγύρριον* Plat. 2, 681 (5^a). *αὐτοῦ παραλαβὼν *τὼ χαλκίω | τὸν ἰὸν ἐκ τῆς χειρὸς ἐξεσπόγγισεν* Eubul. 3, 245 (4). *τἀργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει* (Lais) Epicrat. 3, 366 (2, 25). *ὅστις ὑπέχει χρυσίῳ | τὴν χεῖρα, -πονηρὰ βούλεται* Men. 4, 159 (2). *διὰ χειρὸς δανεῖσαι* Timostrat. 4, 595. *ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε* mon. 148. *ὁρῶν δὲ μορφὴν κριβάνοις ἠλλαγμένους* (int. *ἄρτους*), *| μίμημα χειρὸς ἀττικῆς* Antiph. 3, 96 (1, 6). *εἰς χεῖρα δοῦλον δεσπότῃ μὴ συμβάλῃς* Philem. 4, 63 (111^b). *ξιφηφόροισι χερσὶν ἐξωπλισμένη | τευθίς* Antiph. 3, 126 (1, 19). [*δεδιότα ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχοντα* Xenarch. 3, 617 (1, 20)]. [*οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον | ῥᾷον κατασχεῖν-* Men. 4, 257 (88)]. *†ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν* (f. *οὐδὲ ῥόαν γλυκεῖαν ἐκ τῆς δεξιᾶς | δέξαιτ' ἂν αὐτῶν*) Alexid. 3, 412 (3) cf. add. *τῶν χειρῶν ἔργα μνοῦς* (f. *τῶν χοίρων μνοῦς ἔρι'*) *ἐστίν* Aristophan. 2, 1054 (16). Caeterum cf. *πρόχειρος. σκέλος.*

χειραγωγός: *†ἔχει γὰρ χειραγωγὸν τὸν πλοῦτον ὁ γέρων* Philem. 4, 47 (36).

χειροβαρὲς σαρκὸς ὑείας | θετταλότμητον κρέας Philetaer. 3, 296.

χειρόμακτρον: *παράπεμπε τὸ χειρόμακτρον* Aristophan. 2, 1154 (16).

χειρόνιπτρον: *κἂν τις τύχῃ πρῶτος δραμών, εἴληφε χειρόνιπτρον* (al. *χειρόνιπτρα* Aristophan.), *| ἀνὴρ δ' ὅταν τις ἀγαθὸς ᾖ καὶ χρήσιμος πολίτης, | -οὐκ ἔστι χειρόνιπτρον* Eup. 2, 467 (16). *φροῦδον τὸ χει-*

ρόνιπτρον Eup. 5, 37 (31) i. e. fr. 181 ed. min. cf. 5, 40. χερόνιπτρον Eup. ap. Poll. Bk. 6, 92 vulg. χειρόνιπτρον.

χειρονομησείοντας Cratin. 2, 209 (100).

χειροτονῶ: μέλλω στρατηγὸν χειροτονεῖν Ἀγύρριον Plat. 2, 681 (5^a).

χειροῦμαι: ἥδε (i. e. piscariorum ars) γὰρ δαμάζεται, | ἑφθοῖς προσώποις ἰχθύων χειρουμένη Anaxand. 3, 175 (1, 16). ἀντιβλέπειν ἐκεῖνον (patrem) οὐ δυνήσομαι | *ἀδικῶν, τὰ δ' ἄλλα ῥᾳδίως χειρώσομαι Men. 4, 251 (59).

χειρουργία: τῶν ζωγράφων-ἡ καλὴ χειρουργία | ἐν τοῖς πίναξι κρεμαμένη θαυμάζεται Anaxand. 3, 175 (1, 1).

χείρων: ὄνον γενέσθαι κρεῖττον ἢ τοὺς χείρονας | ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον Men. 4, 135 (2, 18). δούλου-χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ mon. 133. οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς mon. 413. οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν mon. 414. πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν ἢ κύνα Men. 4, 290 (258). τὴν *ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ (pauper) Diph. 4, 423 (23). χαίρει μεταπλάττων (int. ὁ χρόνος) πάντας ἐπὶ τὰ χείρονα ib. 414. πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα mon. 704. λάβ' ὕδωρ κατὰ χειρός. B. μηδαμῶς. καλῶς ἔχει. | A. λάβ' ὠγάθ'. οὐδὲν χεῖρον Clearch. 4, 563. ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ μηδὲ ἓν χεῖρον φρονῶν | ἐπιτιθῆται τῇ ποιήσει Eup. 2, 546 (1, 4).

Χείρων: σὺ γάρ, | ὥς φασι Χείρων', (vulg. φασιν, ὦ Χείρων, an ὥς φασι, Χείρων'?) ἐξέθρεψας Περικλέα; Plat. 2, 683 (7) cf. 5, 49 et add. σκῆψιν μὲν Χείρωνες ἐλήλυμεν, ὡς ὑποθήκας- Cratin. 2, 153 (9).

χελιδόνειος: *χελιδονείων (libr. χελιδονίων int. σύκων) - σκληρῶν ἁδρός | πινακίσκος Epigen. 3, 537 (1). *χελιδόνειος (libr. χελιδόνιος) ὁ δασύπους Diph. 4, 375 (1).

χελιδόνια: *πῦον, χόρια, *χελιδόνια (vulg. χελιδόνα), τέττιγας, ἐμβρύεια Aristophan. 2, 1171 (1, 4).

χελιδών: 1. κωτιλάδας δὲ τὰς χελιδόνας (Thebani vocatis) Stratt. 2, 781 (3, 6). εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν | ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες | ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολὺ Nicostr. 3, 288 (1). ἡ μὲν χελιδὼν *τὸ θέρος, ὦ γύναι, λαλεῖ Philem. 4, 64 (114). πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται Aristophan. (imo Chionid. 5, 14) 2, 1181 (20). μία χελιδὼν ἔαρ οὐ ποιεῖ Cratin. 5, 16 (14). ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν Eubul. (Arar.) 3, 226 (3, 3). 2. σπάρος, αἰολίας, θρίττα, χελιδών Ephipp. 3, 330 (1, 5). σπάρος, αἰολίας, | θρᾷττα, χελιδών Mnesim. 3, 570 (v. 41).

χελυνοίδης: anon. 4, 667 (280).

χέλυς Men. 4, 160 (7).

χελώνη: τάριχος ἐλεφάντινον | ἧψε ποντιὰς χελώνη πευκίνοισι κύμασιν Cratet. 2, 244 (1, 2).

χερνιβεῖον: v. χερνίβιον.

χερνίβιον: Aristophan. 2, 1074 (18). τὸ χερνίβιον (l. χερνιβεῖον) πρῶτον ἡ πομπὴ σαφής (?) Antiph. 3, 35 (2).

χερνίμματα: Philonid. 2, 424 (6).

χέρνιψ: αὐτοῦ τὴν χερνίβα παύσεις Eup. 2, 429 (5). ἀλλὰ δεῖξον χέρνιβα Straton. 4, 546 (v. 39).

χερνίψασθαι v. ad Philonid. 2, 424 (6).

χερόνιπτρον v. χειρόνιπτρον.

Χερρονησίτης: τυροῦ Χερρονησίτου Eubul. 3, 268 (15^a) = Ephipp. 3, 325 (2, 5).

χερσαῖος: *τῶν χερσαίων δ' ὑμῖν ἥξει | παρ' ἐμοῦ ταυτί* Antiph. 3, 73 (2, 1).

χέω: *ἐπεὶ δ' ὁ τρίπους ἤρθη κατὰ χειρῶν τ' εἴχομεν* (Eust. *χειρῶν ἐχέομεν*) Antiph. 3, 147 (36). *πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθείς | ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας* Eubul. 3, 249 (1, 11). *φῦσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι | παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυντ'* (Poll. Bk *ἐκέχυτ'*) *ἀντ' ὀστράκων* Pher. 2, 299 (1, 9). *ὀπταὶ κίχλαι- | περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν, | ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι* ('nonne *κεχυμένους*?' ed. min.) ib. 300 (1, 25). *καὶ χοάς γε *χεόμενοι* (libr. *χέομεν*) | *αἰτούμεθ' αὐτοὺς* - Aristophan. 2, 1148 (1, 13).

χηλεύω: *σκύτινα *χηλεύσει* (libr. *χηλεῦσι* Bk. *χηλεύει*) Eup. 2, 574 (110).

χῆμαι: *χήμας, λεπάδας, σωλῆνας, μῦς* Philyll. 2, 861 (1, 2).

χήν: *πόσῳ κάλλιον-τρέφειν | ἄνθρωπόν ἐστ' ἄνθρωπον-, | ἢ χῆνα πλατυγίζοντα καὶ κεχηνότα* Eubul. 3, 260 (v. 3). *εἴ τις ὥσπερ χῆνα *σιτευτὸν λαβών | ἔτρεφέ με* Epigen. 3, 537 (2). *λαχάνοισιν ὥσπερ χῆνες ἐξενισμένοι* Theop. 2, 796 (1). *φάτται, νῆτται, χῆνες, ψᾶρες* Antiph. 3, 145 (30). *ὀρνιθαρίων ἀφάτων πλῆθος, | νηττῶν, φαττῶν· χῆνες, στρουθοί* Anaxand. 3, 185 (1, 63). *κρέα τ' ἄλλα* (*τὸ πλῆθος ἀμύθητον*) | *χηνός, χοίρου, βοός, ἀρνός* Mnesim. 3, 570 (v. 47). *Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι* Diph. 4, 419 (7, 4). *εἶτα χόνδρον αὐτῷ* (i. e. *κυνί*) *δεύσετε | γάλακτι χηνός* Eubul. 3, 247 (1, 5). *εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις* ib. 253 (5). *οἷς ἦν μέγιστος ὅρκος | ἅπαντι λόγῳ κύων, ἔπειτα χήν· θεοὺς δ' ἐσίγων* Cratin. 2, 155 (11).

χήνειος: *ᾠὰ λευκά γε | καὶ μεγάλα· χήνει' ἐστίν, ὥς γ' ἐμοὶ δοκεῖ* Eriph. 3, 557 (2).

χηνίζω: **ἐχήνισας* (vulg. *ἐχηνίασας*). *ποιοῦσι τοῦτο πάντες οἱ | παρὰ Τιμοθέῳ* *(;) Diph. 4, 413 (5).

χηνίσκος: *διεσπάρακται θερμὰ χηνίσκων μέλη* Eubul. 3, 211 (v. 3).

χηνοβοσκοί, *βουκόλοι* Cratin. 2, 42 (12).

χήρα: *ἀμίαν-χήραν* Sotad. 3, 586 (1, 26).

χθές: *καὶ μὴν χθὲς *γ' ἦν* (legeb. *γὰρ ἦν*) *Πέρδιξ χωλός* (an *παρῆν | Πέρδιξ ὁ χωλός*?) Aristophan. 2, 962 (11) cf. add.

χθονία: *χθονίας Ἑκάτης* Aristophan. 2, 1153 (14).

χθών: *ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική, | χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός* Aristophan. 2, 990 (13). "*ἄνδρες τῆς Ἀθηναίων χθονός*" Ephipp. 3, 332 (v. 13). *ἐπιχώριος *δ' ἔστ' ἢ ξένης ἀπὸ χθονός* (Archedemus) Eup. 2, 453 (18) cf. 5, 35. *χθὼν πάντα κομίζει καὶ πάλιν κομίζεται* mon. 539. *ὁ γὰρ θανὼν | τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός* anon. 4, 607 (20^b, 3).

χιάζειν: *ἔν *(θ') ἁρμονίαις χιάζων ἢ σιφνιάζων* Aristophan. 2, 1200 (102).

χιδρίας: Aristophan. 2, 1184 (33).

χίλιοι: *δίδωμι χιλίας δραχμάς, | ἐάν με τῶν ἀρχῶν ἀφῆτε* Aristophan. 2, 985 (1, 2). *κὠμνύουσι μὴ 'κπιεῖν ἀλλ' ἢ μίαν. | ἡ δὲ κρείττων ἡ μί' ἐστὶ χιλίων ποτηρίων* Pher. 2, 324 (1, 10).

χιλιοτάλαντος: *ὀφρῦς *ἔχον* (parasitorum genus) | *χιλιοταλάντους* Alexid. 3, 434 (1, 7).

χίμαιρα: *ὀβολοῦ *χίμαιρ' ἐν Ἅιδου* *Pher. 2, 296 (21).

Χίμαιρα: **τίς γὰρ ἢ δράκαιν' ἄμικτος, ἢ Χίμαιρα πύρπνοος, | ἢ Χάρυβδις- ‖ εἰς ὑπερβολὴν ἀφῖκται-;* Anaxil. 3, 347 (1, 3). *τὴν Πλαγ-*

γόνα, | ἥτις ὥσπερ ἡ Χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους ib. (1, 9). *ὁ Βελλεροφόντης ἔστιν* (int. *ϕυτόν*) *ἀπὸ τοῦ Πηγάσου | τὴν πύρπνοον χίμαιραν εἰσηκοντικῶς* Epinici 4, 506 (v. 10).

Χίος: *αὕτη Χίος, καλὴ πόλις* Eup. 2, 509 (2, 1). **ὅκως ἔχων τὸν παῖδα *πωλήσει 'ς Χίον* Aristophan. 2, 1164 (2, 3).

Χῖος: *Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν* Stratt. 2, 771 (3). *Χῖος δεσπότην ὠνήσατο* Eup. 2, 533 (3). **Βάστας Χῖος* (sive *ὁ Χῖος*) Eup. 2, 449 (8) cf. 5, 35. **Μητρᾶς ὁ Χῖός ἐστι τῷ δήμῳ φίλος* Antiph. 3, 129 (v. 4). *ὁ Χῖος οὐκ οἶσθ' ὡς ἀμαμηλίδας ποιεῖ;* Aristomen. 2, 733 (1). *Χῖοι πολύ | ἄριστ' ἀνευρήκασιν ὀψαρτυτικήν* Timocl. 3, 613 (3). **Σημωνακτίδης | ὁ Χῖος* Baton. 4, 501 (v. 5). *Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἧψε τοῖς θεοῖς* Euphron. 4, 486 (v. 6). *τοῦτον* (i. e. Thasium) *ἐγὼ κρίνω πολὺ πάντων εἶναι ἄριστον | τῶν ἄλλων οἴνων, μετ' ἀμύμονα Χῖον ἄλυπον* Herm. 2, 410 (2, 5). *Χῖος καὶ Θάσιος ἠθημένος* Epilyc. 2, 889 (1). *οὐ Χῖον, *οὐδὲ Θάσιον, οὐ Πεπαρήθιον* Aristophan. 2, 1076 (1, 2). *Θάσιον ἢ Χῖον λαβών* Eubul. 3, 263 (4). *παρέξω Λέσβιον, Χῖον, σαπρόν* (an *Σαπρίαν*?), *Θάσιον* Philyll. 2, 865 (6). *Χῖον ἐκ Λακαινᾶν* Aristophan. 2, 1038 (19, 3). *ᾠὰ κολάπτων, κήρυκας ἔχων, | Χῖον πίνων* Anaxil. 3, 345 (1, 5). **οὐ Χίου* (libr. *οὐχὶ*) *δύο | κυάθους ἀνεβόησέν τις ὑπόχει* Sophil. 3, 581 (v. 2). *οἴνου τε Χίου στάμνον ἥκειν καὶ μύρον* Aristophan. 2, 1160 (6). *Χία δὲ κύλιξ ὑψοῦ κρέμαται | περὶ πασσαλόφιν* Herm. 2, 403 (3). cf. Pher. 2, 344 (13).

χιτών: *χιτὼν εὐνητήρ* anon. 4, 684 (325). *χιτῶνά μοι | φέρων δέδωκας *δαιδάλεον* Theop. 2, 806 (2, 1). *φέρε νῦν ταχέως χιτᾶνα *τόνδ' ἐπενδύτην* Nicoch. 2, 843 (1). *σαράβαρα καὶ χιτῶνας πάντες ἐνδεδυκότες* Antiph. 3, 115 (3). *ἀλλ' *ἦν χιτών σοι* Men. 4, 112 (8). *ἦν* (*ἦν*?) *χιτὼν ἀμόργινος, | ἕτερος δὲ περιηγητός ἐστιν *οὑτοσί* Antiph. 3, 84. *χιτῶνα, βάραθρον, ἔγκυκλον, *κομμά'τριον* Aristophan. 2, 1079 (6, 8).

χιτωνάριον: *διαφανές | χιτωνάριον ἔχουσα* Men. 4, 287 (241).

χιτώνιον: cf. *κομμώτριον*. *ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον* Aristophan. 2, 1194 (78). *τὴν πτέρυγα *παραλύσασα τοῦ χιτωνίου | καὶ τῶν ἀποδέσμων* ib. 1084 (14). *γαλῆ χιτώνιον* Stratt. 2, 790 (11).

χιτωνίσκος: *λευκὴ χλανίς, φαιὸς χιτωνίσκος καλός* Antiph. 3, 17 (v. 3) cf. 5, 73. *σχιστὸν χιτωνίσκον τίν' ἐνδέδυκας* *(;) Apollod. 4, 453.'

χιών: *ἤδη τεθέασαι κόκκον ἐν χιόνι ῥόας;* Herm. 2, 394 (3). *πρῶτος μὲν εἶδεν εἰ χιών ἐστ' ὠνία* Euthycl. 2, 890. *οἶνον - πιεῖν ‖ ψυχόμενον ἐν τῷ φρέατι *(καὶ) χιόνι μεμιγμένον* Stratt. 2, 784 (1). *φιάλην τε λεπαστήν, | χιόνος τε πρόχουν* Anaxand. 3, 183 (1, 27). *καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν* Alexid. 3, 447 (1, 10). *εἰ δὲ μεθύω καὶ χιόνα πίνω* Dexicrat. 4, 571.

χλαῖνα: *ἥκεις | καὶ σὺ* (i. e. Socrates) *πρὸς ἡμᾶς καρτερικός τ' εἶ; πόθεν ἄν σοι χλαῖνα γένοιτο;* Amips. 2, 703 (1, 2). *χλαῖναν *(δέ) σοι | -παχεῖαν ἐπιβαλῶ Λακωνικήν* Theop. 2, 796 (5).

χλαμύδιον: *πρὶν ἐγγραφῆναι καὶ λαβεῖν τὸ χλαμύδιον* Antidot. 3, 528 (1, 2). *λιτόν ποτ' εἶχες χλαμύδιον καὶ *παῖδ' ἕνα* Men. 4, 200 (2).

χλαμυδῶ: *μειράκιον- | ὑποσκαφιόκαρτόν τι *κεχλαμυδωμένον* Nicostr. 3, 289 (6).

χλαμύς: *μαλλωταὶ χλαμύδες* (Bk. Poll. *χλανίδες*) Plat. 2, 617 (4). *χλαμὺς ὁλόλευκος* Philetaer. 3, 300 (2). *χρῆσόν *(γέ) μοι τὴν χλαμύδα σου* Plat. 2, 691 (38). *ἐγὼ γὰρ ἐς* (?) *τὴν χλαμύδα κατεθέμην*

ποτέ | καὶ τὸν πέτασον Philem. 4, 12. χλαμύδα, καυσίαν, | λόγχην, ἀορτήν Men. 4, 167 (11). χλαμύδα καὶ λόγχην ἔχων Antiph. 3, 7.

χλανίς: cf. χλαμύς. χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν Aristophan. 2, 1150 (5, 1). ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικός (senex)· | λευκὴ χλανίς, φαιὸς χιτωνίσκος καλός Antiph. 3, 17 (v. 3). ὄγκῳ τε χλανίδος εὖ τεθωρακισμένος Ephipp. 3, 332 (v. 10). σεμνὸς σεμνῶς χλανίδ' ἕλκων ib. 336 (1, 4). χλανίδας θ' ἕλκων, βλαύτας σύρων Anaxil. 3, 345 (1, 2). χλανίδες δ' οὖλαι καταβέβληνται, ‖ βλαύτης δ' οὐδεὶς *ἔτ' ἔρως λευκῆς Herm. 2, 397 (2, 1). οὐδὲ χλανίδ' εἶχον (iuvenis)· ἀλλὰ νῦν. | οὐδὲ μύρον εἶχον· ἀλλὰ νῦν Men. 4, 178 (1, 3). τὴν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμέ | προσηγόρευον Posidipp. 4, 526 (5). *παρθενικαὶ τρυφεραὶ χλανίσιν (libr. χλανίδανα χλανίδινα vulg. χλανίδια) μαλακαῖς κατάθρυπτοι Eubul. 3, 257 (2). ἐκ-τῆς ἐμῆς χλανίδος τρεῖς ἀπληγίδας ποιῶν Aristophan. 2, 964 (18).

χλευάζω: ὑμεῖς γὰρ ἀλλήλους ἀεὶ χλευάζετ' Anaxand. 3, 177 (2, 1). ἦ που δεινῶς ὠργίσθησαν | χλευάζεσθαί τ' ἐβόησαν Epicrat. 3, 371 (1, 31).

χλιαίνω: προοπτήσαντα χλιαίνειν πάλιν Alexid. 3, 452 (1, 11). ἔγχελυς Βοιωτία ‖ χλιαίνετ', αἴρεθ', ἕψεται, παφλάζεται Antiph. 3, 125 (1, 4).

χλιαρός: ταγηνίας ἤδη τεθέασαι χλιαρούς | σίζοντας-; Magnet. 2, 10 (2). δρόσον βάλλων ἕωθεν χλιαρὸς ταγηνίας Cratin. 2, 90 (8). μετὰ κολλάβων | χλιαρῶν (al. χλιερῶν) Aristophan. 2, 1151 (9, 6). τέμαχος ὀρφὼ χλιαρόν Cratin. 2, 99 (11). εἰς ἅλμην τε καὶ ὀξάλμην-| χλιαρὸν (al. χλιερὸν) ἐμβάπτων, ὃς ἂν ὀπτότατός μοι ἁπάντων | ὑμῶν φαίνηται, κατατρώξομαι ib. 95 (5, 4).

χλίδων: Διονύσιος | χρυσοῦν ἔχων *χλίδωνα (cod. χραιδόνα) καὶ τρυφήματα Polyz. 2, 871 (1, 2). χλίδωνα (vulg. χλιδῶνα), περόνας, ἀμφιδέας, ὅρμους, πέδας Aristophan. 2, 1079 (6, 11).

χλιερός: v. χλιαρός.

χλόη: πνικτὰ τακερὰ μηκάδων μέλη, | χλόην καταμπέχοντα Antiph. 3, 3 (1, 5). βοτανίων, ὄξους, ἐλαῶν, εἰς ἀβυρτάκην χλόης ib. 78 (1, 3). ἡ βατίς; B. χλόῃ ib. 130 (v. 5). γλαύκου φέρω κεφάλαια-δύο, | -λιτῶς προσαγαγών | χλόην κύμινον ἅλας ὕδωρ *ἐλάδιον. | λάβρακα μετὰ ταῦτ' ἐπριάμην-, | ἔσται δι' ἅλμης λιπαρὸς ἑφθὸς ἐν χλόῃ Sotad. 3, 585 (1, 7. 9). τεμὼν δὲ λεπτὴν τῆς χλόης καὶ πλείονα, | κἂν ᾖ δικότυλος λήκυθος, καταστρέφω ib. 586 (1, 32).

Χλόη: θῦσαι γάρ με δεῖ | κριὸν Χλόῃ Δήμητρι Eup. 2, 502 (7).

χλοῆσαι: *ἀμβλυστονῆσαι καὶ χλοῆσαι τὴν πόλιν Eup. 2, 464 (12).

χλωρός: χαὶ Προκλέους ἵπποι χλωρὰν ψαλάκανθαν ἔδουσιν Eubul. 3, 219 (4). χλωρὸν ἐρέβινθόν τινα | ἐκοττάβιζον κενὸν ὅλως Crobyl. 4, 569 (2, 1). περιπάσας ἡδύσμασιν | *λεπτοῖσι χλωροῖς Alexid. 3, 416 (v. 5). χλωρῷ τρίμματι βρέξας Axionici 3, 531 (1, 8). ἐὰν-ἡμῶν σῦκά τις μεσημβρίας | τρώγων καθεύδῃ χλωρά Nicoph. 2, 850 (1, 2). *βόλιτα χλωρὰ *κῴσπωτὴν πατεῖν Cratin. 2, 41 (6). τυρὸς χλωρός, τυρὸς ξηρός, | τυρὸς κοπτός Antiph. 3, 73 (2, 7). τυροῦ τροφάλια χλωρὰ Κυθνίου Alexid. 3, 462 (1, 12). χλωρόν (i. q. ἀκμάζον) Men. 4, 316 (420). Cf. χρυσίον add.

χναῦμα: σπλάγχν' ὀπτᾶται, *χναῦμ' (cod. A χναυώ al. χαύνω) ἥρπασται (an ἥρτυται?) Mnesim. 3, 569 (1, 12). χναύματα (i. e. περικόμματα) anon. 4, 682 (320).

χναυμάτια: μήτρας δὲ τόμοις καὶ χναυματίοις οἱ παῖδες *ἂν ἠστρα-

γάλιζον Telecl. 2, 362 (1, 14). καὶ δελφακίων-*κωλαῖ καὶ χναυμάτια πτερόεντα Aristophan. 2, 1026 (1).

χναυρός: πλευρὰ δελφάκει' ἐπεξανθισμένα | χναυρότατα παρέχειν' Pher. 2, 300 (1, 17).

χναυστικός: κάθαλος, *κάτοξος, χναυστικός, προσκαυστικός Posidipp. 4, 513 (v. 7).

χναύω: ὁμοῦ τε χναύειν μαινίσιν (Ephipp. κοινῇ τε χναύειν τευθίσιν an χναύειν τε κοινῇ τ.?) σηπίδια Kubnl. 3, 268 (15ª, 6) = Ephipp. 3, 325 (2, 9). πάντα ταῦτ' ἐχναύομεν. | *ἐμασώμεθ' οὕτως ἀνδρικῶς ὅσ' εἴχομεν Ephipp. 3, 328 (1, 4).

χνοάζω: ἄρτι χνοαζούσας αὐλητρίδας Metag. 2, 751 (1, 3). Aristag. 2, 761 (1, 3).

χνοῦς: εἰς ἄχυρα καὶ χνοῦν Aristophan. 2, 980 (23).

χοαί: καὶ χοάς γε *χεόμενοι | αἰτούμεθ' αὐτοὺς- Aristophan. 2, 1148 (1, 13).

Χόες: σοφιστιᾶς-καὶ Χοῶν *δέει | τῶν μισθοδώρων Kubulid. 3, 559.

χοῖνιξ: τῆς χοίνικος τὸν πύνδακ' εἰσέκρουσεν Pher. 2, 298 (7). κοτύλη (Dobr. κοτύλῃ) δ' ἀνὰ χοίνικα μάττει Stratt. 2, 785 (3, 3). *κἂν ὀξυβάφῳ *χρῆσται *(μάττειν) τρεῖς χοίνικας ἢ δύ' ἀλεύρων Phryn. 2, 593 (4). ἀλφίτων-πριάμενος τρεῖς χοίνικας Aristophan. 2, 1139 (7).

χοιρίδιον: χοιρίδιον ἓν θύομεν Men. 4, 222 (1, 3). χοιρίδια *περιφόρινα κρομβώσας ὅλα Diph. 4, 419 (7, 3). αἱ δ' ἀλεκτρυόνες ἅπασαι | καὶ τὰ χοιρίδια τέθνηκε Stratt. 2, 784 (2).

*Χοιριλεκφαντίδης (cod. Χορίλα ἐκφαντίδες) Cratin. 2, 199 (66).

Χοιρίλος, Ὅμηρος, Ἐπίχαρμος, συγγράμματα (Herm. ἔστ' Ἐπίχαρμος, γράμματα) | παντοδαπά Alexid. 3, 444 (1, 6).

χοιρίον: *χοιρίων (libr. χοιρέων) | σκέλη καπύρ' Antiph. 3, 100 (2).

χοιροπῶλαι Aristophan. 2, 1175 (14).

χοῖρος: κρέα τ' ἄλλα (τὸ πλῆθος ἀμύθητον) | χηνός, χοίρου, βοός, ἀρνός, οἰός Mnesim. 3, 570 (v. 47). εἰς δὲ τὰ κρέα μόσχον ἔλαβες, δέλφακας, χοίρους, *λαγώς Euang. 4, 572 (v. 6). *ταδὶ δ' ἅμα χοίρων ἀκροκώλια μικρῶν- Archipp. 2, 717 (2). ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών Henioch. 3, 560 (v. 2). ἡμῖν-παιδικῶν *ἅλις | ὅκως περ ἀρνῶν ἐστι γαλαθηνῶν τε καί | χοίρων Cratet. 2, 233 (1). ἤδη δέλφακες, χοῖροι δὲ τοῖσιν ἄλλοις Cratin. 2, 20 (7). Cf. χείρ.

χοιροτροφεῖον: Eup. 2, 575 (116). Phryn. 2, 596 (3).

χολή: οἱ δὲ τὴν ὀσφὺν ἄκραν | καὶ τὴν χολὴν *ὀστᾶ τ' ἄβρωτα τοῖς θεοῖς | ἐπιθέντες Men. 4, 108 (3, 6). θεούς | ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης ‖ χαίρειν *ἀπαρχαῖς anon. 4, 613 (41, 3). κᾆθ' οὗτος (i. e. πυρετός) ἐπιπεσὼν ἐμεῖν ποιεῖ χολήν Nicoph. 2, 850 (1, 4). κινεῖται γὰρ εὐθύς μοι χολή, | ἐξ οὗπερ ἔπιον ἐκ τοιαύτης (int. κοτυλίσκης) φάρμακον Pher. 2, 282 (3, 5). μάλιστ' ἐμοὶ δήπουθε κινοῦσιν χολήν | οἱ τῶν τρόπων φάσκοντες ἐπιεικῶς ἐρᾶν Baton. 4, 503 (1, 3). ἐάν με κινῇς καὶ ποιήσῃς τὴν χολὴν | ἅπασαν ὥσπερ καλλιωνύμου ζέσαι- Anaxipp. 4, 463. τίθημ' ἔχειν χολήν σε καλλιωνύμου | πλείω Men. 4, 79 (2). οὐκ ᾤου *(σύ) με | χολὴν ἔχειν, ὡς δ' ἠπάτω μοι διελέγου Kubnl. 3, 234 (2). ἀλείψας τὴν τράπεζαν τῇ χολῇ, | ὥσπερ τὰ παιδί' αὐτὸν ἀπογαλακτιεῖ Diph. 4, 412 (2). σιωπῇ τοῦτον ὑπομυκτηρίσας | εἰς τὴν τράπεζαν καὶ σὺ τὴν χολὴν ἄφες Nicol. 4, 580 (v. 39). *(ὁ δ') ὄγδοος (int. κρατήρ) *κλητῆρος· ὁ δ' ἔνατος χολῆς· | δέκατος δὲ μανίας Eubul. 3, 249 (1, 9). ταῦτ' (i. e. verba) οὐχὶ πικρότερ' ἐστὶν αὐτῆς τῆς χολῆς; Alexid. 3, 391 (2, 12). ἐπει

ἔχειν προῖκ' οὐχὶ τιμὴν (f. ποινὴν ed. min.) πάσχομεν (an φάσκομεν?); | πικράν γε καὶ μεστὴν γυναικείας χολῆς ib. 450 (v. 5). πολλῇ χολῇ Cratin. 2, 74 (2).

χόλικες: δίεφθ' ἀκροκώλια | -, καὶ χόλικες (Poll. χόλιξ) βοός Pher. 2, 300 (1, 15). κριοῦ τ' ὄρχεις, χόλικές τε βοός Eubul. 3, 234 (1, 4). βοιδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν Aristophan. 2, 982 (27). χορδαί, φύσκαι, πάσται, ζωμοί, | χόλικες (Bk. χορδαί, φῦσκαι, πασταί, ζωμός, χόλ.) ib. 1184 (32). χολίκων (al. κολλίκων), δημοῦ, | φυσκῶν, ζωμοῦ Anaxand. 3, 184 (1, 39). ἤνυστρα, μήτρας, χόλικας Dioxipp. 4, 541.

χολλάδες: Pher. 2, 346 (19). ἔχοντα πολλὰς *χολλάδας (vulg. χολάδας) κεῖσθαι παχύν Men. 4, 74 (3).

χολῶ: ὃ δὲ *χολᾶν (cf. 3, 158) ποιεῖ, | γάστριν καλοῦσι καὶ λάμυρον ὃς ἂν φάγῃ | ἡμῶν τι τούτων Antiph. 3, 49 (1) cf. 5, 75. Epicrat. 3, 368 (v. 7). ἐγὼ κέκληκα *Μέροπας ἐπὶ δεῖπνον; χολᾷς Straton. 4, 545 (v. 7).

χονδρεύω: †οὐθὲν χονδρεύουσι διαφέρω τ' Ἀσπενδίου (f. οὐδὲν Διοδώρου διαφέρω τἀσπενδίου) Anaxipp. 4, 460 (v. 26) cf. add.

χόνδρος: ἐκ δ' αὖ Ἰταλίας χόνδρον καὶ πλευρὰ βόεια Herm. 2, 407 (1, 6). ἐν ταῖς *τρισὶν (i. e. σπυρίσι) μὲν χόνδρος ἀγαθὸς Μεγαρικός. | Α. οὐ Θετταλικὸν τὸν χρηστὸν εἶναί φασι δέ; Antiph. 3, 18 (1). καὶ χόνδρος ἔνδον ἐστὶ Θετταλικὸς πολύς Alexid. 3, 473 (6). πυρούς, πτισάνην, χόνδρον, ζειάς Aristophan. 2, 1122 (15). εἶτα χόνδρον αὐτῷ (cani) δεύσετε | γάλακτι χηνός Eubul. 3, 247 (1, 4). παρῆν δὲ χόνδρος *γάλατι κατανενιμμένος | -καὶ *πύου τόμοι Pher. 2, 300 (1, 18). χόνδρον *ἕψων εἶτα μυῖαν ἐμβαλὼν | ἐδίδου ῥοφεῖν ἄν Aristophan. 2, 1029 (10). ὁ μάγειρος- | -χόνδρον *ἕψει καὶ φέρει | μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς Men. 4, 222 (1, 10). λάχανον, τάριχος πολυτελές, χόνδρον, μέλι Athenion. 4, 558 (v. 33). ῥαφανῖδας ἀπλύτους, γογγυλίδας, χόνδρον, μέλι Antiph. 3, 143 (21). μέλιτος, τυροῦ, χορίων, πυρῶν, | καρύων, χόνδρου Anaxand. 3, 184 (1, 45). καὶ μετὰ *δεῖπνον κόκκος** | ἐρέβινθος** κύαμος, | χόνδρος, τυρός, | μέλι Ephipp. 3, 330 (2, 3). χόνδρος μετὰ *ταῦτ' εἰσῆλθε, μύρον Αἰγύπτιον ib. 327 (1, 1).

χορδάριον: χορδαρίου τόμος ἧκεν Alexid. 3, 442 (1).

χορδή: Eup. 2, 433 (18). τὰ δὲ δὴ δένδρη τὰν τοῖς ὄρεσιν χορδαῖς ὀπταῖς ἐριφείοις | φυλλορροήσει Pher. 2, 316 (1, 9). χορδαί τ' ἐρίφων, ἧπάρ τε κάπρου ‖ γαστήρ τε λαγώ, φύσκη, χορδή, | πνεύμων, *ἀλλᾶς τε Eubul. 3, 234 (1, 3. 6). χορδαί, φύσκαι, πάσται, ζωμοί, | χόλικες (Bk. χορδαί, φῦσκαι, πασταί, ζωμός, χόλικες) Aristophan. 2, 1184 (32). τόμος ἀλλᾶντος, τόμος ἠνύστρου, | χορδῆς ἕτερος, φύσκης ἕτερος | διαλαιμοτομεῖθ' ὑπὸ τῶν ἔνδον Mnesim. 3, 569 (v. 15). ὡς λεπτός-ἔσθ' ὁ τῆς χορδῆς τόμος Cratin. 2, 126 (15). ἀλλᾶντα τέμνω, παραφέρω χορδῆς τόμον Axionici 3, 535 (2, 4). ἐκτεμὼν χορδῆς *μεσαῖον Antiph. 3, 40 (3). ἐγευσάμην χορδῆς ὁ δύστηνος τέκνων Aristophan. 2, 1138 (2). χορδήν τιν' αἱματῖτιν αὐτῷ σκευάσαι | ἐκέλευσε *ταυτηνί με Sophil. 3, 582. χορδῆς ὀβελίσκους- | δύ' ἐχθὲς ὤμοὺς εἰς τὸ πῦρ ἀποσβέσας, | καὶ πρὸς τὸ δίχορδον ἐτερέτιζες Euphr. 4, 487 (v. 32). ταῦτ' οὐ-Γνήσιππος *οὐδὲ Κλεομένης | ἐν *ἐννέ' ἂν χορδαῖς (libr. ἐννέα χορδαῖσιν) *κατεγλυκήνατο Chionid. 2, 6 (1). λαβὼν ἀνῆκέ με | χαλαρωτέραν τ' ἐποίησε χορδαῖς δώδεκα Pher. 2, 326 (1, 5) ἐν *ἑπτὰ χορδαῖς (libr. πέντε χορδαῖς Vat. πενταχόρδαις) δώδεχ' ἁρμονίας ἔχων

ib. 327 (1, 16). κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ, | *ἀπέδυσε κἀνέλυσε χορδαῖς δώδεκα (an ἕνδεκα?) ib. 327 (1, 25).

χορεία: εἶτ' ἐπεισῆγεν χορείαν ἢ τράπεζαν δευτέραν Antiph. 3, 94 (1, 1).

χορεύω: εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ' ὅλην | ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε Eubul. 3, 203 (3). *ἀνὴρ χορεύει καὶ τὰ τοῦ θεοῦ καλά Phryn. 2, 583 (1). οἶνον λέγουσι τοὺς γέροντας- | πείθειν χορεύειν οὐ θέλοντας Eriph. 3, 556. ὁμοῦ δὲ τευθὶς καὶ *Φαληρικὴ κόρη || πηδᾷ χορεύει, πῶλος ὣς *ἀπὸ ζυγοῦ Eubul. 3, 242 (1, 6). δέπας | μεστόν, κύκλῳ χορεῦον, *ἕλκουσι Antiph. 3, 140 (15, 3).

Χορηγίς Calliad. 1, 450.

χορηγός: ἤδη χορηγὸν πώποτε ῥυπαρώτερον | τοῦδ' εἶδες; (Par. Bk. εἶδες χορηγὸν πώποτε ῥυπ. | τοῦδε;) Eup. 2, 551 (7). χορηγὸς αἱρεθείς | ἱμάτια *χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος φορεῖ Antiph. 3, 116 (1, 5).

χορηγῶ: τοὺς Ἴβηρας, οὓς χορηγεῖς μοι, βοηθῆσαι δρόμῳ Aristophan. 2, 1165 (10). τούτῳ παρέθηκα σηπίας καὶ τευθίδας | καὶ τῶν πετραίων ἰχθύων-, | ἐμβαμματίοις γλαφυροῖσι κεχορηγημένα Anaxipp. 4, 460 (v. 35).

†*Χορίλα ἐκφαντίδες* v. *Χοιριλεκφαντίδης*.

χόριον: βοτρύδιόν τι, *χόριον (libr. χορεῖον), ἐν ποτηρίῳ | γλυκύν Alexid. 3, 462 (1, 13). *(τοὺς σοὺς δὲ) κανδαύλους λέγων καὶ χόρια (al. χορεῖα) καὶ | βατάνια ib. (1, 17). νεοτρόφοιο γέννας | χόριά τ' ἐμβρύων τε πλήθη *Cratin. 2, 226 (158). οὐδὲ *χόρι' (libr. χόριον), οὐδὲ πυός, οὐδ' ἧπαρ κάπρου, | *οὐδὲ σχαδόνες-; Aristophan. 2, 1077 (3, 5). μήτραν, *χόρια, πῦον (libr. χωριάπυον), λάβρακος κρανίον Eubul. 3, 258 (1). μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι, δίκαι, | πυός, πυριάτη ib. 241 (v. 4). σχαδόνας, ἐλάας, | *πῦον, χόρια, *χελιδόνια, τέττιγας, ἐμβρύεια Aristophan. 2, 1171 (1, 4). μέλιτος, τυροῦ, χορίων, πυρῶν Anaxand. 3, 184 (1, 44).

χοροκτόνος: *σκηνὴ μέν *(ἐστιν ἥδε) τοῦ χοροκτόνου | Κινησίου Stratt. 5, 53.

Χορόνικος ὁ ποιητὴς ὁδί Alexid. 3, 388.

χορός: πρασοκουρίδες, αἳ- | -πεντήκοντα ποδῶν | ἴχνεσι βαίνετ' - || χοροὺς ἑλίσσουσαι Stratt. 2, 787 (1, 5). ἀλλ' ἀπίωσιν ἐν χορῷ (?) Cratin. 2, 137 (7). καὶ στῆτ' ἐφεξῆς κεστρέων νῆστις χορός Theop. 2, 796 (1, 1). παί|ζειν (Bk. παί|ζει) δ' ἐν ἀνδρικοῖς χοροῖσι | τὴν *κυνητίνδ' Cratet. 2, 242 (2). *ἐπὶ τὸ δεῖπνον ὡς καλεῖ δή | μ' ὁ *χορὸς (libr. χρόος) ὁ φιλοτήσιος Aristophan. 2, 1202 (109). οὐ πρὸς γυναικὸς ὁ *χορός (legeb. κόρος) Philetaer. 3, 296. ὑπέλυσε δήμαρχός τις ἐλθὼν εἰς χορόν Pher. 2, 358 (87). ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροί | ᾄδωμεν εἰς τὸν δεσπότην ἐγκώμιον Aristophan. 2, 1150 (5). κιθαρῳδὸν ἐξηγείρατ' Ἀράβιον *χορόν Canth. 2, 835 (1). ὥσπερ τῶν χορῶν | οὐ πάντες ᾄδουσ', ἀλλ' ἄφωνοι δύο τινές | ἢ τρεῖς παρεστήκασι- | εἰς τὸν ἀριθμόν Men. 4, 117 (2). χορηγὸς αἱρεθείς | ἱμάτια *χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος φορεῖ Antiph. 3, 116 (1, 6). ος οὐκ ἔδωκ' αἰτοῦντι *Σοφοκλέει χορόν, | τῷ *Κλεομάχου δ' Cratin. 2, 27 (2). παρατιλτριῶν ἔχων χορόν ib. 163 (2). καὶ *Σάκαν, | *(ὃν) οἱ χοροὶ μισοῦσιν Calliae 2, 739 (3). τοῖσι χοροῖς αὐτὸς (i. e. Aeschylus) τὰ *σχήματ' ἐποίουν Aristophan. 2, 1177 (5). Σαννυρίων | ἀπὸ τῶν *τρυγῳδῶν, ἀπὸ δὲ τῶν τραγικῶν χορῶν | Μέλητος, ἀπὸ δὲ τῶν *κυκλίων Κινησίας ib. 1005 (1, 9). *τίς χορὸς οὗτος; Eup. 2, 568 (64). ἕξ ζυγὰ τοῦ χοροῦ esse docet Cratin. 2, 114 (5). ὁ χο-

ρὸς δ' αὐτοῖς (i. e. comicis) εἶχεν δάπιδας ῥυπαρὰς καὶ *στρωματόδεσμα Pher. 2, 290 (9). ὁ χορὸς δ' ὠρχεῖτ' ἂν ἐναψάμενος δάπιδας καὶ στρωματόδεσμα Aristophan. 2, 1052 (12). προβατικὸν χορόν Caprarum chorum dixit Eup. 2, 427 (1). ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν Eup. 2, 518 (30). πάντα φορητὰ πάντα τολμητὰ τῷδε τῷ χορῷ Cratin. 2, 194 (52b). μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας Aristophan. 2, 1086 (16, 2). ἡμῶν ἴσως *σὺ *καταπλιγήσει τῷ *χορῷ (legeb. χρόνῳ) ib. 1033 (16, 3).

χορτάζω: θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν Aristophan. 2, 1008 (8). οὐ καυλοῖσιν- | οὐδ' ἱεροσύλοις-παροψίσι | βολβοῖς τ' ἐμαυτὸν χορτάσων ἐλήλυθα Eubul. 3, 205 (v. 5). χορταζόμενοι γάλα λευκόν Cratin. 2, 95 (4). *χορταζόμεσθα (libr. χορταζόμενα) πᾶσιν ἀγαθοῖς Amphid. 3, 312. χορτάζεσθαι Arar. 3, 277 (3). ἐγὼ κεχόρτασμαι μέν-οὐ κακῶς, | ἀλλ' εἰμὶ πλήρης Eubul. 3, 220 (1). ἱκανῶς κεχόρτασμαι γάρ Nicostr. 3, 286 (3, 3). γαστρισμὸς ἔσται δαψιλής·- | -χορτασθήσομαι Sophil. 3, 582 (1). χορτασθείς Men. 4, 207 (3).

χορταῖος: Aristophan. 2, 1223 (283).

χορτασμός: Anaxand. 3, 202 (27).

χοῦς: Κότυν περιεζῶσθαι | ζωμόν τε φέρειν ἐν χοῒ χρυσῇ Anaxand. 3, 183 (1, 13). τρύβλια, χύτρα, λοπάδιον, ὀξίς, χοῦς, ἀμίς Axionici 3, 535 (3, 1). συντρίψω-αὐτοῦ τοὺς χόας ‖ καὶ τἄλλα πάντ' ἀγγεῖα τὰ περὶ τὸν πότον Cratin. 2, 122 (8, 3). δὸς δὴ τὸν *χόα (legeb. χό?) | αὐτῷ *σύ-καὶ τὸ κυμβίον φέρων Anaxand. 3, 174. τὸν χοᾶ (l. χόα) | ἐκκέχυκας Men. 4, 323 (461). χοῦς κεκραμένος ψιθίου Anaxand. 3, 201 (20). χοῦς κεκραμένου | οἴνου Men. 4, 129 (6). κεράσαι κελεύσας τὸν κάπηλόν μοι χόα | ὀβολοῦ Eubul. 3, 245 (1, 4). ἴσον ἴσῳ μάλιστ' ἀκράτου δύο *χόας (libr. χοέας) | πίνουσ' Cratin. 2, 179 (16, 2). πρόσθες τὸν οἶνον, ὃν μεθυόντων προσέλαβον | ὑμῶν, χόας τρεῖς, δέκ' ὀβολῶν ὁ χοῦς Alexid. 3, 389 (1, 19). ἔστι δ' ἐλέφας.-ῥυτόν | *χωροῦν δύο χόας (al. χοᾶς)·- ‖ ἕτερον τριήρης· *τοῦτ' ἴσως χωρεῖ χόα Epinici 4, 506 (v. 5. 8). ῥυτόν | δίκρουνον (int. ἐλέφας), ἡλίκον τι τρεῖς *χωρεῖν χόας (al. χοᾶς) Damox. 4, 529 (v. 3). †οἴνου κόφινος δυνάμενος τρεῖς χόας Stratt. 2, 768 (1). Cf. Χόες.

χοῦς: τῆς ὀροφῆς τὸν χοῦν Pher. 2, 313 (6). Cf. ὄχθος.

χρεία: *τοὐπτάνιον ὀρθῶς καταβαλέσθαι καὶ τὸ φῶς | *λαβεῖν ὅσον δεῖ- | -μεγάλην χρείαν τίν' εἰς τὸ πρᾶγμ' ἔχει Sosip. 4, 483 (v. 41). τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι χρεία-; Pher. 2, 315 (1, 1). τῆς θηρικλείου (θηρικλείας? 5, 116) τῆς μεγάλης χρεία *'στί μοι Dioxipp. 4, 542 (1). τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς | *χρεία 'στ' (vulg. χρεί 'στιν) ἰατροῦ, τῷ δὲ τὴν ψυχὴν φίλου Men. 4, 252 (65). χρεία διδάσκει κἂν ἄμουσος ᾖ σοφόν | Καρχηδόνιον (?) *Men. 4, 146 (6). "νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τέ μου | γαστήρ" Diph. 4, 402 (1, 2).

Χρέμης: ἂν ἕν τι τούτων παραλίπῃ | Χρέμης τις ἢ Φείδων τις ἐκσυρίττεται Antiph. 3, 106 (v. 21). Chremes avarus Men. 4, 323 (462b).

χρέμπτομαι: μῆλα δὲ χρέμπτεται Eup. 2, 494 (17, 4).

***χρεμψιθέατροι** (vulg. χρεμψιθέατρον) anon. 4, 649 (181).

χρέος: πάνυ μόλις | ὥσπερ τὸ κατὰ χρέος (an τι κατάχρεων?) κεφάλαιον ἐκτίνει (int. ἡ γῆ) | τὸ σπέρμα Philem. 4, 33 (4, 9).

χρεών: v. χρή.

χρή: ἀλοᾶν χρὴ τὰς γνάθους Aristophan. 2, 1199 (96). τὸν σαπέρδην

ἀποτῖλαι χρή ib. 1184 (31). οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν Cratet. 2, 235 (2). τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοισθά τι, | ταχέως λέγειν χρὴ πρὶν κρέμασθαι Antiph. 3, 41 (2, 4). ἀλλ' εἰ δοκεῖ, χρὴ ταῦτα δρᾶν Theop. 2, 818 (10). φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ', ὦ *Τελεμησσεῖς (Τελεμησσῆς?); Aristophan. 2, 1159 (2). λούσαντα χρὴ (al. δεῖ) καὶ βακκάριδι κεχριμένον Magnet. 2, 10 (1). καὶ τῶν ῥαφάνων ἕψειν χρὴ** | ἰχθῦς τ' ὀπτᾶν τούς τε ταρίχους, ἡμῶν δ' ἄπο χεῖρας ἔχεσθαι Cratet. 2, 239 (3, 1). τούτου χρὴ παρέχειν πίνειν- | τοῖσιν ἐμοῖσι φίλοις, τοῖς δ' ἐχθροῖς ἐκ Πεπαρήθου Herm. 2, 410 (2, 11). ἀφυπνίζεσθαι *(καὶ δὴ) χρὴ πάντα θεατήν Cratin. 2, 174 (5) cf. 5, 23. ἀλλὰ πάντας χρὴ παραλοῦσθαι, καὶ τοὺς σπόγγους ἐᾶν Aristophan. 2, 965 (19). χρὴ γὰρ εἰς ὄχλον φέρειν | ἅπανθ' ὅσ' ἂν τις καινότητ' ἔχειν δοκῇ Anaxand. 3, 196 (3, 5). τὰ δ' ἄλλα προσθήκας ἅπαντα χρὴ καλεῖν Alexid. 3, 518 (31, 5). ἄνδρας σοφοὺς χρὴ τὸ παρὸν πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι Cratin. 2, 113 (3). οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον, | ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα Men. 4, 111 (6). στερρῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ mon. 480. χρηστοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν mon. 546. ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν Men. 4, 293 (281b). *καὐτόν τι πράττειν, οὐ μόνον τὰς ἐλπίδας | ἐπὶ τῇ τύχῃ *(χρή)-πάντως (an πάντων?) ἔχειν | ὧν βούλεταί τις Philem. 4, 16 (1, 2). οὐ χρὴ φέρειν τὰ πρόσθεν ἐν μνήμῃ κακά mon. 435. οὐ μέντοι μεθύειν τὸν ἄνδρα χρή | τὸν ἀγαθὸν οὐδὲ θερμολουτεῖν, ἃ σὺ ποιεῖς Herm. 2, 413 (1). [οὔποτ' ἄνδρα χρὴ σοφόν | λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων Men. 4, 226 (1, 4)]. οὐδενὸς χρὴ πράγματος | τὸν εὖ *πονοῦνθ' ὅλως ἀπογνῶναί ποτε Men. 4, 109 (5a). χαίρειν ἐπ' αἰσχροῖς οὐδέποτε χρὴ πράγμασιν mon. 544. κακοῦ μεταβολὴν ἀνδρὸς †χρὴ σιωπᾶν (f. οὐ χρὴ προσδοκᾶν) mon. 282. οὐ χρὴ *πόλλ' ἔχειν θνητὸν ἄνθρωπον (f. οὐ χρῆν-θνητὸν ἄνδρ' an οὐ χρεὼν πόλλ' ἔχειν θν. ἄνθρωπον ὄντ'? ed. min.), | ἀλλ' ἐρᾶν Amips. 2, 710 (1). ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν Aristophan. 2, 944 (2). ὧν οὐκ ἐχρῆν ἄρχουσιν, ὧν δ' ἄρχειν ἐχρῆν | ἀμελοῦσιν (mulieres) Alexid. 3, 450 (v. 9). ὡς δῆτ' ἐχρῆν, εἴ τις πατρῴαν παραλαβὼν | γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους, | καὶ μηδ' ἐπιβαίνειν γῆς Men. 4, 175 (2, 3). εἰ- | -βατὶς αὐτῶν ἡγεῖτ' ὀπτὴ-καὶ πλευρὸν ὕειον, | τοὺς μὲν ἄρ' ἄλλους οἰκουρεῖν χρῆν, πέμπειν δὲ Νόθιππον *ἕν' ὄντα Herm. 2, 399 (3). ἐχρῆν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον Men. 4, 128 (2). Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα Aristophan. 2, 1083 (9). ὃν χρῆν- | *προστρόπαιον τῆς πόλεως κάεσθαι *τετριγότα Eup. 2, 469 (20). ὃν χρὴ (an χρῆν? 5, 83) δεδειπνάναι πάλαι Eubul. 3, 248 (3). τῇ παιδὶ τοὺς αὐλοὺς ἐχρῆν ἤδη †προχείρους εἶναι (l. προχειρίσασθαι ed. min.) Plat. 2, 638 (1, 5). χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν· | εἶτ' ἰσθμιακὰ λαβόντες- | ᾄδωμεν Aristophan. 2, 1150 (5). ἅλμης δ' ἐχρῆν τι περιφέρειν ποτήριον Antiph. 3, 41 (2, 10). ἀνάβαινε μᾶζα. τὴν χύτραν *χρῆν (libr. χρὴ) *ἐξερᾶν τὰ τεῦτλα Cratet. 2, 237 (1, 8). *κᾆτα μυροπωλεῖν τί μαθόντ' (Dobr. παθόντ') ἄνδρ' ἐχρῆν καθήμενον | ὑψηλῶς-; Pher. 2, 276 (1). καί σε τί χρὴ παραταιναρίζειν; Herm. 2, 391 (7). *ἀλλὰ χρὴ κἄξεστιν Men. 4, 302 (323). μετὰ μαινομένων φασὶν χρῆναι μαίνεσθαι πάντας ὁμοίως Calliae 2, 740 (1). ἐγὼ τελῶ τὸν μισθὸν ὅντιν' ἂν χρῇ (an ἄν με χρῇ?) Eup. 2, 431 (12). ἀλλ' ἐάν με χρῇ, | ὑπὸ τερηδόνων σαπεὶς ἐνταῦθα καταγηράσομαι Eup. (?) 2, 577 (v. 16). ἀλλ' ὁπότε μὲν χρείη *διῃτώμην λέγειν, | ἔφασκε *δῃτώμην, ὁπότε δ' εἰπεῖν δέοι | ὀλι-

γον, *(ὀλίον) ἔλεγεν Plat. 2, 669 (1) cf. 5, 48. χρεών: μεσημβρία, | ἡνίκα *γε τοὺς νεωτέρους δειπνεῖν χρεών Aristophan. 2, 1093 (2). μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών anon. 4, 607 (20^b). χρῆς suo loco vide.

χρῆμα: μένει δὲ χρῆμ' οὐδὲν ἐν ταὐτῷ ῥυθμῷ Eup. 2, 549 (4). *ἔστιν δ' ὁμοῦ τὸ χρῆμα Men. 4, 305 (334). ὡς ἔστι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα Plat. 2, 687 (21). ἐὰν δ' ἀνῇς, ὑβριστόν *(ἐστι) χρῆμα (mulier) κἀκόλαστον ib. 648 (2) cf. 5, 46. τῶν ταῶν - ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν μόνον, | σπάνιον ὂν τὸ χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων Antiph. 3, 117 (3, 2). τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν Aristophan. 2, 972 (1). *ἦν μέγα τι χρῆμ' ἔτι (legeb. ἢ μέγα τι βρῶμ' ἐστὶν ἢ) τρυγῳδοποιομουσική ib. 1085 (15, 1). οἱ δ' ἄνθρωποι πίονες ἦσαν τότε καὶ μέγα χρῆμα Γιγάντων Telecl. 2, 362 (1, 15). †αὗται μόνον κρείττους (l. αὐταὶ μόναι κρεῖττον) πολὺ χρῆμ' εἰς ἡδονήν (int. παροψίδες) | *ἢ καταλαβεῖν Plat. 2, 629 (1) cf. add. αὐτοὺς ἐπαίδευσεν ἔθρεψέ τε *δημοσίοισιν | χρήμασιν εἰς ἥβην Cratin. 2, 112 (2). ἄρξαντος ἀνδρὸς δημόσια τὰ χρήματα anon. 4, 624 (79). εἰς οἷ' ἀνάλουν οἱ πρὸ τοῦ τὰ χρήματα Aristophan. 2, 1040 (22). πόλιν *(γε) θεοφιλεστάτην | οἰκοῦσιν ἀφθονεστάτην τε χρήμασιν Eup. 2, 554 (13). ἔσειον, ᾔτουν χρήματ', ἠπείλουν Aristophan. 2, 1040 (23). οὐδ' ὅστις αὐτῆς ἐκπίεται τὰ χρήματα Plat. 2, 616 (1). τῆς μὲν θαλάττης ἀντιποιεῖσθαί τινας | ὑμῶν ἀναλίσκειν τε πολλὰ χρήματα Antiph. 3, 104 (v. 12). τῷ Διονύσῳ πάντα τἀμαυτοῦ δίδωμι χρήματα Herm. 2, 400 (6). οὐδεὶς †πῦρ εἰς (Haupt. πυρετοῦ) χρήματα διδοὺς ἐπαύσατο mon. 439. ὑποσακίζεται τὰ χρήματα anon. 4, 667 (279). ἁμαξιαῖα χρήματα anon. 4, 663 (256). ἔχοντες εὐπαθῆ βίον | παρουσίαν τε χρημάτων Cratet. 2, 240 (4). νῦν ὡς ἐγενόμην χρημάτων ἐπήβολος Archipp. 2, 725 (3). *λαιμὰ βακχεύει λαβὼν τὰ χρήματα Men. 4, 100 (1). κρεῖττον ὀλίγ' ἐστὶ χρήματ' ἀνυπόπτως ἔχειν, | ἢ πολλὰ φανερῶς, *ἀλλὰ μετ' ὀνείδους λαβεῖν ib. 263 (120). ὅταν δανείζῃ τις πονηρῷ χρήματα | ἀνήρ Axionici 3, 536 (1). πρὸς τὴν ἀδελφὴν ἀνάδοχον τῶν χρημάτων Men. 4, 222 (3). πένης ὢν τὴν γυναῖκα χρήματα | λαβὼν ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι Anaxand. 3, 195 (1, 4). ὅταν πένης ὤν - | τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα, | αὑτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει Men. 4, 251 (57). ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ mon. 211. κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν | γυναῖκ' ἄπροικον ἢ κακῶς μετὰ χρημάτων Diod. 3, 546 (v. 4). ὡς ἀλόγιστός ἐστ' ἀνήρ, | ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει, | μήτ' ἂν ἀτυχήσας εἰς τὰ κοινὰ τοῦ βίου | ἐπαμφιάσαι δύναιτο τοῦτο χρήμασιν Men. 4, 192 (4, 5). χρήματα γυναῖκα καὶ τέκνων πολλῶν σποράν, | ἅ σοι *τύχη κέχρηκε, ταῦτ' ἀφείλετο ib. 247 (41). οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα, | οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή Alexid. 3, 521 (40). ἐγὼ μὲν αὐτὸν οὔποτ' ὄλβιον καλῶ, | φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα Philem. 4, 49 (41, 7). οὐ δεῖ λέγειν· *(γὰρ) μακάριον τὸν χρήματα | ἔχοντα πλεῖστα, τὸν δὲ μὴ λυπούμενον Apollod. 4, 453. ἐπὶ *χρήμασιν δ' ὢν ἔμπορος φρονεῖ (an φρονεῖς?) μέγα, | ὧν ἐστι πάντων ἐνίοτ' ἄνεμος κύριος Antiph. 3, 83. *ὀστᾶ *(τε) καὶ κούφη κόνις | ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν | καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν Men. 4, 233 (9, 5). περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος ib. 107 (2, 1). "ἀλλὰ χρήματ' ἐστὶν ἡμῖν." ἅ γε τάχιστ' ἀπόλλυται Philem. 4, 30 (1, 6). ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα | ταῦτ' ἔστιν ὄψις, παραπέτασμα τοῦ βίου Antiph. 3, 154 (63) = Alexid. 3, 521 (41) =

Men. 4, 273 (175). *μαθημάτων φρόντιζε μᾶλλον [ἢ] χρημάτων· | τὰ γὰρ μαθήματ' εὐπορεῖ τὰ χρήματα* Philem. 4, 53 (52[a]). *τοῦ γάρ τις ἄλλου-οὕνεκα* (f. *οὕνεκ' ἂν*) | *εὔξαιτο πλουτεῖν εὐπορεῖν τε χρημάτων,* | *ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις-;* Antiph. 3, 133 (4, 2). *ἐν ταῖς ἀνάγκαις χρημάτων κρείττων φίλος* mon. 143. *ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους* mon. 165. *τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους* mon. 500. *ὅπλον μέγιστον ἐν βροτοῖς τὰ χρήματα* mon. 619. *δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα* mon. 658.

χρῆς: *πάρα μὲν θεσμοί* | *τῶν ἡμετέρων, πάρα δ' ἄλλ' ὅ τι χρῆς* Cratin. 2, 87 (2).

χρῆσαι. κέχρηκεν. v. *κίχρημι.* *χρήσασθαι* (i. q. *δανείσασθαι*) Antiph. 3, 158 (85).

